σας (α). Ἀθηνογένης ὁ ἀπὸ Σεβαστείας ἐπίσκοπος Ἡδαχθοῦ κρατηθεὶς ὑπὸ Φιλομάρχου ἡγεμόνος μετὰ τῶν δέκα μαθητῶν αὐτοῦ, πολλούς τε βασάνων αἰκισμοὺς αὐτοῖς ἅμα ὑπομείνας καὶ τὴν διὰ ξίφους δεχόμενος τελευτὴν (β) Εἰρήναρχος ἐπίσης ἀπὸ Σεβαστείας εἰς λίμνην πρῶτον βληθεὶς, εἶτα δὲ μετὰ ἑπτὰ σὺν αὐτῷ ἁγίων γυναικῶν τὴν κεφαλὴν τμηθεὶς (γ). Πρὸς τούτοις ἐπὶ Διοκλητιανοῦ καὶ Μαξίμου ἢ Μαξιμίνου ἡγεμόνος Καππαδοκίας ἤθλησε καὶ ὁ ἅγιος Ὀρέστης ἐκ Τυάνων, ἰατρὸς τὴν τέχνην μετὰ πολλὰς βασάνους τέλος προσδεθεὶς ἀγρίῳ ἵππῳ μετὰ ἁλύσεων, ἐλαυνομένῳ βίᾳ πολλῇ καὶ ἑλκυσθεὶς μίλια εἰκοσιτέσσαρα ἀπὸ τῆς πόλεως Τυάνων παρέδωκε τὸ πνεῦμα (δ)· τελεῖται δὲ ἡ μνήμη αὐτοῦ τῇ δεκάτῃ Νοεμβρίου. Γρηγόριος δὲ ὁ Ναζιανζηνὸς λέγει ὅτι Ἄνθιμος ὁ Τυάνων ἐφθόνει τὸν Βασίλειον διὰ τὰς ταυρικὰς προσόδους κτλ. τοῦθ' ὅπερ. φαίνεται. ὅτι δηλοῖ ὅτι ὑπῆρχε μοναστήριον τοῦ ἁγίου Ὀρέστου ἐπὶ τοῦ ὄρους Ταύρου, οὗ αἱ πρόσοδοι ἀνήκουσαι τῇ ἐκκλησίᾳ Καισαρέων, ἔπρεπε νὰ διέρχωνται διὰ Τυάνων καὶ νὰ φθάσωσι τῷ Βασιλείῳ. Ὁ δὲ Ἅγιος Βλάσιος, βουκόλος τὸ ἐπιτήδευμα ἐκ Καισαρείας τῆς Καππαδοκίας, κατὰ τὸν Συναξαριστὴν (ε), γονέων πλουσίων σπόδρα ὑπῆρχεν υἱὸς, ἐκ τῆς τῶν βοσκημάτων πληθύος τῆς περιουσίας αὐτῶν αὐξανομένης, ἐξ ὧν καὶ δαψιλεῖς παρεῖχον τοῖς πένησι τὰς εὐεργεσίας· ἐπεὶ δὲ διωγμοῦ γενομένου, ὡς χριστιανὸς ὁ μακάριος Βλάσιος ἐζητεῖτο... φέρων ἑαυτὸν δίδωσι τοῖς διώκουσι· παραστὰς δὲ τῷ ἡγεμόνι αἴρεται ἐκ τεσσάρων καὶ τείνεται καὶ νεύροις ὠμοῖς μαστίζεται· εἶτα λέβητι μεγίστῳ ὕδατος καχλάζοντος πλήρει ἐμβάλλεται ἐπιζήσας δὲ ἡμέρας τινὰς καὶ ἐγγὺς τῆς ἐπαύλεως τῶν ἑαυτοῦ θρεμμάτων γενόμενος, τῇ τε μητρὶ καὶ τοῖς ἰδίοις ἐ-

(α) αὐτόθ. Ἰουνίου κζ'.

(β) αὐτόθ. Ἰουλίου Ε'.

(γ) αὐτ. Νοεμβρίου κ η'.

(δ) Μηνολ. Νοεμβρ. Ι'.

(ε) Μηνολ. Φεβρουαρ. γ'.

πισκήψας τὰ προσήκοντα τὸ πνεῦμα τῷ θεῷ παρατίθησι· καὶ οὗτοι μὲν εἰσιν οἱ ἐπιφανέστεροι τῶν ἐπὶ Διοκλητιανοῦ ἐν Καππαδοκίᾳ μαρτυρησάντων ἀνδρῶν.

§. 24. Κατὰ δὲ τὸν ἐπὶ Μαξιμιανοῦ (Γαλερίου) διωγμόν, ὅτε Φίρμος ἦν ἡγεμὼν Καππαδοκίας, ἤθλησεν Ἀκάκιος Καππαδόκης τὸ γένος ἐκ τοῦ τάγματος τῶν Μαρτισίων· μετὰ πολλὰς δὲ ἐνταῦθα τε καὶ ἀλλαχοῦ βασάνους ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται (α). Προτέτι δὲ ἤθλησαν ἐπ' αὐτοῦ ἐν Καισαρείᾳ Ἀντώνιος, Νικηφόρος, Ζεβινᾶς καὶ Γερμανὸς (β). Βασιλίσκος ὁ ἀνεψιὸς Θεοδώρου τοῦ Τύρωνος ὁ ἐν Κομάνοις μαρτυρήσας (γ) καὶ αἱ ἐν Ἀμισῷ μαρτυρήσασαι, Ἀλεξάνδρια, Κλαυδία, Εὐφρασία, Ματρώνη, καὶ αἱ λοιπαὶ (δ).

§. 25. Μετὰ δὲ ταῦτα ἐπῆλθεν εἰς Καππαδοκίαν καὶ ὁ τοῦ Καίσαρος Μαξιμίνου διωγμὸς δεινὸς καὶ ὀλέθριος, ὡς καὶ ἀλλαχοῦ τῆς Ἀνατολῆς, διαρκέσας περίπου τὰ ἑπτὰ ἔτη, ἤτοι ἀπὸ τοῦ 306—313· περὶ τοῦ διωγμοῦ τούτου λέγει ὁ Εὐσέβιος «Μαξιμῖνος Καῖσαρ αὐτόθεν ἐπὶ τὴν ἀρχὴν παρελθὼν ὥσπερ τῆς ἐμφύτου θεοεχθρίας αὐτοῦ καὶ δυσσεβείας τὰ σύμβολα τοῖς πᾶσιν ἐνδεικνύμενος γενικώτερον ἢ οἱ πρόσθεν τῷ καθ' ἡμῶν ἐναπεδύετο διωγμῷ κτλ (ε). Γρηγόριος δὲ ὁ Ναζιανζηνὸς φησὶ «διωγμὸς ἦν καὶ διωγμῶν ὀφρικωδέστατος καὶ βαρύτατος, εἰδόσι λέγω τὸν Μαξιμίνου, ὃς πολλοῖς τοῖς ἐγγύθεν γενομένοις ἐπιφυεὶς, πάντας φιλανθρώπους ἀπέδειξε, θράσει τε πολλῷ ῥέων καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος ἀναδήσασθαι. Τοῦτον πολλοὶ μὲν ὑπερέσχον τῶν ἡμετέρων ἀγωνιστῶν καὶ μέχρι θανάτου διηγωνισμένοι, καὶ πρὸ θανάτου μικρὸν, τοσοῦτον ἀπολειφθέντες, ὅσον ἐπιβιῶναι τῇ νίκῃ καὶ μὴ συναπελθεῖν τοῖς παλαίσμασιν, ἀλλ' ἀπολειφθῆναι τοῖς ἄλλοις, ἀλεῖπται τῆς ἀρετῆς, ζῶντες μάρτυρες, ἔμπνοι στῆλαι σιγῶντα κηρύγματα, σὺν πολλοῖς δὲ τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς τούτῳ (Βασιλείῳ) πατέρες, οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ὁδὸν, καλὴν ἐπήνεγκεν ὁ καιρὸς ἐκεῖνος τὴν κορωνίδα· παρασκευῆς μὲν γὰρ οὕτως εἶχον καὶ γνώμης, ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους ὑπὲρ ἡμῶν ἄθλησιν· ἐπεὶ δὲ νόμιμον αὐτοῖς ἔδει καὶ τὸν ἀγῶνα γενέσθαι, νόμος δὲ μαρτυρίας μήτε ἐθελοντὰς πρὸς τῶν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας ἐστὶ καὶ τούτῳ τιμῶντες ἐκεῖνοι τὸν νομοθέτην, τί μηχανῶνται; μᾶλλον δὲ πρός τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκείνων ἀγούσης Προνοίας ἐπί τινα τῶν Ποντικῶν ὀρῶν ὄχθην· πολλαὶ δ' αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι καὶ ἐπὶ πλεῖστον διήκουσαι, καταφεύγουσι λίαν ὀλίγοις χρώμενοι καὶ τῆς φυγῆς συνεργοῖς καὶ τῆς τροφῆς ὑπηρέταις· ἄλλοι μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος· καὶ γὰρ πλεῖστον αὐτοῖς, ὡς φασι, τὸ τῆς φυγῆς παρετάθη, ἔτος που ἑβδομον καὶ μικρὸν πρός τό τε τῆς διαίτης σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον, ὡς τὸ εἰκὸς καὶ τὸ ὑπαιθρίοις κρυμοῖς καὶ θάλπεσι καὶ ὄμβροις ταλαιπωρεῖν, ἥ τε ἄφιλος ἐρημία καὶ τὸ ἀκοινώνητόν τε καὶ ἄμικτον, ὅσον εἰς κακοπάθειαν τοῖς ὑπὸ πολλῶν δορυφορουμένοις καὶ τιμωμένοις. . .» (α)

§. 26. Κατὰ δὲ τὸ ἕκτον ἔτος τοῦ ἐπὶ Μαξιμίνου διωγμοῦ ἤθλησαν ἐν Καισαρείᾳ Παλαιστίνης, μετὰ τῶν συναθλητῶν τοῦ ἁοιδίμου ἐν μάρτυσι Παμφίλου, Σέλευκος δέκατος τὸν ἀριθμὸν, δωδέκατος δὲ καὶ τελευταῖος Ἰουλιανὸς, Καππαδόκαι ἀμφότεροι· καὶ περὶ μὲν Σελεύκου ὁ Εὐσέβιος λέγει τάδε «τῆς δὲ κατ' αὐτὸν (τὸν Πορφύριον) τελειώσεως ἄγγελος τῷ Παμφίλῳ γενόμενος Σέλευκος τῶν ἀποστρατείας τις ὁμολογητὴς οἷα τηλικαύτης ἀγγελίας διάκονος, τοῦ σὺν αὐτοῖς παραχρῆμα κλήρου καταξιοῦται· αὐτίκα γάρ τοι αὐτὸν διαγγείλαντα τὸ τοῦ Πορφυρίου τέλος, τῶν τε μαρτύρων ἕνα δή τινα φιλήματι προσειπόντα, ἐπι-

(α) Μηνολ. Ματου Χ'.
(β) Νοεμβρ. ΙΒ'.
(γ) Μαΐου ΚΒ'.
(δ) Μαρτ. Κ'.
(ε) Εὐσεβ. ἐκκλ. Ἱς. βιβλ. Η', φύλλ. 93.

(α) Γρηγορ. Ναζ. λόγ. Κ'. σελ. 319.

λαβόμενοι στρατιῶται τινὲς ἄγουσιν ἐπὶ τὸν ἡγεμόνα· ὁ δὲ, ὥσπερ ἐπισπέρχων αὐτὸν τῷ προτέρῳ συναπόδημον τῆς εἰς οὐρανοὺς γενέσθαι πορείας αὐτίκα κεφαλικῇ τιμωρίᾳ κολασθῆναι προστάττει· οὗτος ἦν μὲν ἀπὸ τῆς Καππαδοκῶν γῆς· τῆς δ' ἐν στρατείαις ἐπιλέκτου νεολαίας καὶ τῶν ἐν Ρωμαϊκοῖς ἀξιώμασιν οὐ μικρᾶς τιμῆς ἐπειλημμένος· ἡλικίᾳ τε καὶ ῥώμῃ σώματος, μεγέθει τε καὶ ἰσχύϊ, παρὰ πλεῖστον ὅσον τοὺς συστρατιώτας ἐπλεονέκτει, ὡς καὶ τὴν πρόσοψιν αὐτῷ περιβόητον τοῖς πᾶσιν εἶναι καὶ τὸ πᾶν εἶδος ἀξιάγαστον μεγέθους ἕνεκα καὶ εὐμορφίας. Κατ' ἀρχὰς μὲν οὖν τοῦ διωγμοῦ διὰ μαστίγων ὑπομονῆς τοῖς κατὰ τὴν ὁμολογίαν διαπρέψας ἀγῶσι, μετὰ δὲ τὴν τῆς στρατείας ἀπαλλαγὴν ζηλωτὴν ἑαυτὸν καταστήσας τῶν τῆς θεοσεβείας ἀσκητῶν, ὀρρανῶν ἐρήμων καὶ χηρῶν ἀπεριστάτων, τῶν τε ἐν πενίαις καὶ ἀσθενείαις ἀπερριμμένων, ἐπίσκοπος ὥσπερ καὶ ἐπίκουρος, πατρὸς καὶ κηδεμόνος δίκην ἀναπέφανται· ὅθεν δὴ εἰκότως τοιοῖς δε μᾶλλον τῶν διὰ καπνοῦ καὶ αἵματος θυσιῶν χαίροντος θεοῦ τῆς κατὰ τὸ μαρτύριον παραδόξου κλήσεως ἐκλήθη· δέκατος οὗτος ἀθλητὴς ἐπὶ τοῖς δεδηλωμένοις ἐν μιᾷ καὶ τῇ αὐτῇ τετελείωτο ἡμέρᾳ, καθ' ἣν, ὡς ἔοικε, μεγίστης τῷ Παμφίλου μαρτυρίῳ, ἐπαξίως τοῦ ἀνδρὸς διανοιχθείσης πύλης, εὑρὰς ἅμ' αὐτῷ καὶ ἑτέροις ἡ πάροδος τῆς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσόδου γεγένηται». Παρακατὼν δὲ μικρὸν περὶ Ἰουλιανοῦ ὁ αὐτὸς φησιν «ἐπὶ τούτοις ἑνὸς ἔτι λείποντος, ὃς τὸν δωδέκατον ἀποπληρώσοι τοῖς δηλουμένοις μάρτυσιν ἀριθμὸν, Ἰουλιανὸς παρῆν τοῦτον ἀποπληρώσων· ἐξ ἀποδημίας γέ τοι ἀφικόμενος αὐτίκα καὶ μηδ' εἰσβαλὼν τῷ τόπῳ, εὐθὺς ὡς εἶχεν, ἀπὸ τῆς ὁδοῦ μαθὼν καὶ ὁρμήσας ἐπὶ τὴν τῶν μαρτύρων θέαν, ὡς ἐπὶ γῆς χαμαὶ τὰ τῶν ἁγίων εἶδε σκηνώματα, χαρᾶς ἔμπλεως γεγονὼς, ἑκάστῳ περιπλακεὶς τοὺς πάντας ἠσπάζετο· τοῦτο ποιοῦντα συλλαβόντες αὖθις οἱ τῶν ῥόνων διάκονοι προσάγουσι τῷ Φιρμιλιανῷ· ἀκόλουθα δὲ αὐτῷ ἐπιτελῶν μακρῷ καὶ τοῦτον πυρὶ παραδίδωσιν. οὕτω δῆτα καὶ Ἰουλιανὸς σκιρτῶν καὶ ὑπεραλλόμενος μεγάλῃ τῇ φωνῇ τῷ τηλικούτων αὐτὸν ἀξιώσαντι Κυρίῳ ὑπερευχαριστῶν τοῦ τῶν μαρτύ-

ρων κατηξιώθη στεφάνου· ἦν δὲ καὶ οὗτος τὸ μὲν κατὰ σάρκα γένος Καππαδοκῶν τὸν δὲ τρόπον, εὐλαβέστατος καὶ πιστότατος καὶ γνησιώτατος, σπουδαῖός τε τὰ ἄλλα πάντα καὶ πνέων αὐτοῦ ἁγίου Πνεύματος» (α)· τούτων δὲ τὴν μνήμην τελεῖ ἡ ἐκκλησία τῇ Ις'. Φεβρουαρίου.

§. 27. Τὸν δὲ ἐπὶ Λικινίου διωγμὸν Βασίλειος ὁ μέγας περιγράφει ἐν τῇ εἰς Γόρδιον τὸν μάρτυρα ὁμιλίᾳ διὰ τῶν δὲ τῶν λόγων «ἐπειδὴ δὲ ὁ τότε τύραννος τὸ πικρὸν καὶ ἀνήμερον τῆς ψυχῆς μέχρι τοῦ πολέμου τῆς ἐκκλησίας ἐξέτεινε καὶ ἦρε χεῖρα θεομάχον κατὰ τῆς εὐσεβείας, κηρύγματα δὲ ἦν πανταχοῦ καὶ διαγράμματα ἥπλωτο κατὰ πᾶσαν ἀγορὰν καὶ πάντα τόπον ἐπίσημον μὴ προσκυνεῖσθαι Χριστὸν ἢ θάνατον εἶναι τὴν ζημίαν τοῖς προσκυνοῦσι· καὶ πρόσταγμα ἦν ὑποκύπτειν εἰδώλοις ἅπαντας καὶ λίθους καὶ ξύλα χαράγματι τέχνης μεμορφωμένα θεοὺς ἡγεῖσθαι ἢ τοὺς μὴ πειθομένους πάσχειν ἀνήκεστα· σύγχυσις δὲ ἦν καὶ ταραχὴ διὰ πάσης τῆς πόλεως(Καισαρείας)καὶ λεηλασίαι κατὰ τῶν εὐσεβούντων· χρήματα διηρπάζετο· πληγαῖς τὰ τῶν φιλοχρίστων σώματα κατεξαίνετο· γυναῖκες εἵλκοντο διὰ μέσης τῆς πόλεως· οὐ νεότης ἐλεεινὴ, οὐ γῆρας αἰδέσιμον ἦν, ἀλλ' οἱ μηδὲν ἀδικοῦντες τὰ τῶν κακούργων ὑπέμενον· ἐστενοχωρεῖτο τὰ δεσμωτήρια, ἔρημοι ἦσαν οἱ εὐθηνούμενοι τῶν οἴκων, αἱ δὲ ἐρημίαι πλήρεις τῶν φυγαδευομένων· ἕγκλημα δὲ ἦν τοῖς ταῦτα πάσχουσιν ἡ εὐσέβεια· καὶ πατὴρ παρεδίδου παῖδα καὶ πατέρα υἱὸς κατεμήνυεν· ἀδελφοὶ κατ' ἀλλήλων ἐμαίνοντο καὶ δοῦλοι δεσπόταις ἑαυτῶν ἐπανίσταντο· δεινὴ δέ τις νὺξ κατειλήφει τὸν βίον πάντων ἀγνοησάντων ἀλλήλους ἐκ τῆς τοῦ διαβόλου φρενοβλαβείας· κατεβάλλοντο μὲν οἶκοι προσευχῶν ὑπὸ χειρῶν ἀνοσίων· ἀνετρέπετο δὲ θυσιαστήρια καὶ οὐκ ἦν προσφορὰ, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι, ἀλλὰ κατήφεια δεινὴ, ὥσπερ τις νεφέλη, τὰ πάντα κατεῖχεν· ἀπελήλαντο μὲν οἱ τοῦ θείου θεραπευταὶ, διεπτόητο δὲ πᾶς τῆς εὐσεβείας θίασος· δαίμονες δὲ κατεχόρευον κνίσσαις καὶ αἵμασι τὰ πάντα καταμιαίνοντες.»

(α) Εὐσεβ. ἐκκλ. ἱστορ. βιβλ. Η'. φύλλ. 98. ἔκδ. Ροβέρτου Στεφάνου.

(Βασιλ. Ὁμιλ. ΙΗ'. σελ. 201)· ἐξεφώνησε δὲ τὸν λόγον τοῦτον τὴν ἡμέραν καθ' ἣν ἐτελεῖτο ἡ μνήμη τοῦ ἐπὶ Λικινίου ἀθλήσαντος Γορδίου ἐν Καισαρείᾳ. Ἦν δὲ ὁ Γόρδιος ἐκ Καισαρείας ἀνατραφεὶς ἐν τῇ εὐσεβείᾳ· ἑκατόνταρχος δὲ γενόμενος διέπρεπε σώματος ῥώμῃ καὶ ψυχῆς ἀνδρείᾳ· ἐπὶ δὲ τοῦ διωγμοῦ, ἐπειδὴ ὁ θάνατος ἦν ἡ ζημία παντὶ τῷ εὐσεβεῖ καὶ μὴ λατρεύοντι τοῖς εἰδώλοις καὶ δαιμονίοις, προλαβὼν ὁ γενναῖος τὴν ἐκ τῶν δικαστηρίων ἀνάγκην καὶ ῥίψας τὴν ζώνην ἔφυγεν εἰς τὰς βαθυτάτας καὶ ἀνθρώποις ἀβάτους ἐρήμους. Τηρήσας δὲ τὴν ἡμέραν καθ' ἣν ἐτελοῦντο ἀγῶνες ἱππικοὶ καὶ ἑορτὴ πάνδημος ἐν τῷ σταδίῳ τῆς πόλεως, «πλῆρες δὲ ἦν τὸ στάδιον καὶ πάντες ἤδη πρὸς τὴν θέαν τῆς τῶν ἵππων ἁμίλλης ἦσαν συντεταμένοι ἄνωθεν ἐκ τῶν ὀρέων (τοῦ Ἀργαίου) ἐπικαταβὰς τῷ θεάτρῳ οὐ κατεπλάγη τὸν δῆμον, οὐκ ἐλογίσατο πόσαις χερσὶ πολεμίαις ἑαυτὸν παραδίδωσιν· ἀλλ' ἀτρόμῳ τῇ καρδίᾳ καὶ γαύρῳ τῷ φρονήματι... τοὺς τὸ στάδιον περικαθημένους παραδραμὼν εἰς τὸ μέσον κατέστη... ἀνὴρ ἀπηγριωμένος τὴν ὄψιν· διὰ τὴν χρονίαν ἐν τοῖς ὄρεσι δίαιταν αὐχμηρὰν ἔχων τὴν κεφαλήν· βαθὺς τὴν ὑπήνην· τὴν ἐσθῆτα ῥυπῶν· κατεσκληκὼς ἅπαν τὸ σῶμα· βακτηρίαν φέρων καὶ πήραν ἐνημμένος· οἷς πᾶσιν ἐπέπρεπέ τις χάρις, ἐκ τοῦ ἀρανοῦς αὐτὸν περιλάμπουσα...» Καταδικασθεὶς δὲ εἰς θάνατον ὑπὸ τοῦ ἡγεμόνος τῆς Καππαδοκίας καὶ ἀποτμηθεὶς τὴν κεφαλὴν (τῷ 314 τρίτῃ δὲ ἡμέρᾳ Ἰανουαρίου) χοροῖς ἀνελήφθη μαρτύρων. (Βασιλ. Ὁμιλ. ΙΗ', σελ. 200) ὁ δὲ τόπος τῆς καταδίκης αὐτοῦ ἐτιμήθη ἔκτοτε· διὸ καὶ ἐν δριμυτάτῳ ψύχει ὁ λαὸς τῆς Καισαρείας ἐτέλει τὴν μνήμην ἐν τῷ μαρτυρίῳ αὐτοῦ τὴν ἡμέραν τῆς τελευτῆς· καὶ ὁ Βασίλειος δὲ εἶπε τὸν εἰς αὐτὸν λόγον ἐν τῷ αὐτῷ τόπῳ καὶ τὴν αὐτὴν ἡμέραν· ἐπὶ δὲ τοῦ αὐτοῦ Λικινίου ἤθλησεν σὺν τοῖς ἄλλοις ἐν Καππαδοκίᾳ ὁ ἐπίσκοπος Σεβαστείας Βλάσιος ξίφει τὴν κεφαλὴν ἀποτμηθεὶς μετὰ τῶν δύο βρεφῶν τῶν ὄντων ἐν τῇ φυλακῇ καὶ τῶν ἑπτὰ γυναικῶν.(α)—Βασιλεὺς ὁ ἐπίσκοπος Ἀμασείας σὺν τῇ Γλαφύρᾳ,

(α) Μηνολ. Φεβρ. ΙΑ'.

ἥτις θεράπαινα οὖσα Κωνσταντίνης τῆς γαμετῆς Λικινίου, ἐπεὶ τὸν Λικίνιον ἐπιμανέντα αὐτῇ ἤσθετο, τοῦτο ἀναθεμένη τῇ κυρίᾳ αὐτῆς, μετὰ χρημάτων παρ' αὐτῆς εἰς Ἀνατολὴν πέμπεται καὶ τόπους ἐκ τόπων ἀμείψασα, εἰς τὴν Ἀμάσειαν καταντᾷ· τοῦ τὸ οὖν πυθόμενος ὁ Λικίνιος καὶ ὅτι τὸ ἐπιφερόμενον παρ' αὐτῆς χρυσίον εἰς οἰκοδομὴν ἐκκλησίας τῷ ἐπισκόπῳ δέδωκεν, ἀμφοτέρους συλληφθῆναι καὶ πρὸς αὐτὸν ἀχθῆναι ἐκέλευσεν (α)· οἱ τεσσαράκοντα μεγάλοι μάρτυρες οἱ ἐν τῇ λίμνῃ τῆς Σεβαστείας μαρτυρήσαντες, οὓς δι' ἐγκωμίων ἐστεφάνωσαν ὅτε Μέγας Βασίλειος καὶ Γρηγόριος ὁ Νύσσης καὶ Ἀστέριος ὁ Ἀμασείας (β). Ἐκτὸς δὲ τῶν ἀναφερθέντων μαρτύρων καὶ πλεῖστοι ἄλλοι ἐμαρτύρησαν κατὰ διαφόρους καιροὺς καὶ διωγμούς, ὧν πολλῶν μὲν οὐδὲ τὰ ὀνόματα ἀναφέρονται ἐν τῇ ἱστορίᾳ τῆς ἐκκλησίας τινῶν δὲ ἡ ἐποχὴ τῆς μαρτυρίας διαφιλονεικεῖται· ἐξ ὧν ἀναφέρομεν τοὺς μάρτυρας, Καρτέριον (γ), Ἀγαθόδωρον (δ), Εὐτυχῆ ἐπίσκοπον Μελιτινῆς (ε), Τερέντιον ἐπίσκοπον Ἰκονίου (ζ), τὸν ἐν Ἰκονίῳ μαρτυρήσαντα Ἀπολλώνιον. (η)

§. 28. Ὁσίων δὲ πλῆθος ἦν ἐν Καππαδοκίᾳ ἐξ ὧν ἀναφέρομεν Σάββαν τὸν ἡγιασμένον τὸν ἐν Μουταλάσκῃ τῆς Καππαδοκίας γεννηθέντα καὶ προστάτην πολλῶν μοναχῶν καὶ καθηγεμόνα τῶν ἐν Παλαιστίνῃ μοναστηρίων (θ), Εὐθύμιον τὸν Μέγαν τὸν ἐκ Μελιτινῆς τῆς Ἀρμενίας καὶ καθηγητὴν τοῦ Σάββα καὶ πολλῶν ἄλλων μοναχῶν ἐν Παλαιστίνῃ, τὸν καταπολεμήσαντα, ὡς καὶ ὁ Σάββας πολλὰς αἱρέσεις (ι), τὸν ὅσιον Δομετιανὸν τὸν ἐπίσκοπον Μελιτινῆς (κ), Θεοδόσιον τὸν Κοινοβιάρχην τὸν ἐκ

(α) Ἀπριλίου κς'.
(β) Μαρτ. Ο'. ὑρ. καὶ Ἑρμ. Σωζ. βιβλ. Ο'.
(γ) τοῦτον ὁ συναξ· λέγει ὅτι ἐμαρτύρησεν ἐπὶ Διοκλητιανοῦ καὶ τοῦ ἡγεμόνος Καισαρείας, Οὐρβανοῦ Ἰαν. Η'.
(δ) Φεβρ. Β'.
(ε) Μαΐου ΚΗ'.
(ζ) Ἰουν. ΚΔ'.
(η) Ἰουλ. Γ'.
(θ) Δεκεμβρ. Ε'.
(ι) Ἰανουαρ. Κ'.
(κ) Ἰανουαρ. Γ'.

Μεγαρισσοῦ τῆς Καππαδοκίας (α), τὸν Κανίδον (β), Εὐδόκιμον τὸν δίκαιον (γ), Μακρίνην τὴν ἀδελφὴν τοῦ Μεγάλου Βασιλείου (δ), Μελέτιον τὸν ἐν Μυουπόλει τῆς Ἑλλάδος ἀσκησάμενον ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ, ὅστις ὢν Καππαδόκης ἐκ κώμης Μουταλάσκης ἦλθεν εἰς τὴν Ἑλλάδα καὶ πολλοὺς διὰ τῶν ἐνθέων αὐτοῦ πράξεων εἰς θεοὺς προσελκύων διῆλθε τὴν ζωὴν ἐν τῇ Μονῇ τῶν Ταξιαρχῶν, ἤτοι τῇ Μονῇ τοῦ Συμβόλου, ἥτις ὕστερον ἐτιμήθη ἐπ' ὀνόματι αὐτοῦ τοῦ Μελετίου. (ε)

§. 29. Περιελθούσης δὲ τῆς ἀρχῆς τῷ Κωνσταντίνῳ μόνῳ ἔληξαν μὲν οἱ διωγμοί, ἀπήλαυσε δὲ πάσης ἐξωτερικῆς εἰρήνης ἡ ἐκκλησία τοῦ θεοῦ, καὶ ναοὶ μεγαλοπρεπεῖς ἠγείροντο καὶ συνάξεις Χριστιανῶν ἐλεύθεραι, ἀλλ' ἐπειδὴ αἱ ἐσωτερικαὶ ταραχαὶ ἐκ διαλειμμάτων ἐτάραττον τὴν ἐκκλησίαν, πρὸς παῦσιν τούτων ἐγένοντο κατὰ τόπους σύνοδοι ἐπισκόπων· καὶ ἐν μὲν Ἀγκύρᾳ τῇ μητροπόλει τῆς Γαλατίας συνέστη σύνοδος, ἧς ἐξῆρχον Οὐίτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρείας Καππαδοκίας καὶ ὁ μάρτυς Βασίλειος ἐπίσκοπος Ἀμασείας καὶ ἐν ᾗ συνεζητήθη, εἰ χρὴ δέχεσθαι τοὺς θύσαντας τοῖς εἰδώλοις, καὶ προσερχομένους τῇ ἐκκλησίᾳ μετὰ τὰς βασάνους καὶ μετανοήσαντας· πρὸς δὲ περὶ τοῦ πῶς ἐπιτιμητέον τοὺς ἀποστρεφομένους τὰ κρέα καὶ εἰ δεῖ τοὺς χειροτονηθέντας μετὰ τὴν χειροτονίαν ἐλθεῖν εἰς γάμου κοινωνίαν εἰ μὴ, καὶ περὶ ἄλλων· συνετάχθησαν δὲ Κανόνες ΚΕ'. ἐπειδὴ δὲ ἕνεκα τῆς διαδόσεως τοῦ ἀρειανισμοῦ εἰ καὶ μὴ ἐν τῇ Καππαδοκίᾳ, ἀλλὰ πολλαχοῦ τοῦ κράτους, ἐγένοντο ταραχαὶ μεγάλαι καὶ ἐπικίνδυνοι, Κωνσταντῖνος ὁ μέγας διέταξε συγκρότησιν Οἰκουμενικῆς συνόδου ἐν Νικαίᾳ τῆς Βιθυνίας τῷ 325. Μεταξὺ δὲ τῶν διαπρεπεστέρων Ἱεραρχῶν τῶν ἐπικοσμούντων αὐτὴν ἦν καὶ Λεόντιος ὁ Καισαρείας μετὰ

(α) Ἰανουαρ. ΙΔ'.
(β) Ἰουν. Γ'.
(γ) Ἰουλί. λα. Γ'.
(δ) Ἰουλ. Ιθ'.
(ε) Μελετ. ἐκκλ. Ἱστορ. Τόμ. δ'. σελ. 441· περὶ δὲ τῶν μονῶν θέλομεν ὁμιλήσει ἐν οἰκείῳ τόπῳ, ὡς καὶ περὶ τῶν μοναστῶν καὶ ἀναχωρητῶν ὧν πλῆθος εἶχεν ἡ περὶ τὸν Ἄργαιον γώρα·

τοῦ διακόνου αὐτοῦ Ἑρμογένους, ὡς μαρτυρεῖ ὅτε Εὐσέβιος εἰπὼν «... καὶ Καππαδοκῶν θ' οἱ πρῶτοι παιδεύσει λόγων μέσοι τοῖς πᾶσι διέπρεπον» «Πόντος τε καὶ Γαλατία καὶ Παμφυλία, Καππαδοκία τε καὶ Ἀσία καὶ Φρυγία, τοὺς παρ' αὐτῶν παρεῖχον ἐκκρίτους»· (α) καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς ἐν οἷς φησιν «ὧν εἷς Λεόντιος ἦν ὁ πάνυ, ὁ τότε τῆς καθ' ἡμᾶς μητροπόλεως ἐξηγούμενος» (β)· ἐν δὲ ταῖς πράξεσι τῆς συνόδου ταύτης, ἃς συνήθροισε Γελάσιος ὁ Κυζίκου, λέγεται ἐν παρόδῳ ὅτι Λεόντιος ὁ Καισαρείας Καππαδοκίας ἐπίσκοπος ἀνεδέξατο νὰ διαβιβάσῃ τὰ δόξαντα τῇ συνόδῳ εἰς ἁπάσας τὰς ἐκκλησίας τῆς Ποντικῆς διοικήσεως «Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ θεοῦ καλλώπισμα, ταῖς κατὰ τὴν Καππαδοκίαν, Γαλατίαν, Πόντον, Παφλαγονίαν, Πόντον Πολεμωνιακὸν, Ἀρμενίαν μεγάλην καὶ μικρὰν ἐκκλησίαις»· ὑπέγραψε δὲ τὰ πρακτικὰ τῆς Συνόδου οὕτω «Λεόντιος Καισαρείας Καππαδοκίας, Γαλατίας, καὶ Ἀρμενίας μικρᾶς καὶ μεγάλης ὑπέγραψα». Κατὰ δὲ τοὺς χρόνους τούτους καὶ πρὸ τῆς ἐν Νικαίᾳ μάλιστα Συνόδου ὁ Λεόντιος οὗτος ἐδίδαξε τὰ δόγματα τῆς Χριστιανικῆς πίστεως ἐν Καισαρείᾳ Γρηγόριον καὶ ἐχειροτόνησεν αὐτὸν πρῶτον ἐπίσκοπον τῆς Ἀρμενίας, παρ' οὗ οἱ Ἀρμένιοι διδαχθέντες τὴν εἰς Χριστὸν πίστιν Φωτιστὴν (Λουσαβορίτς) αὐτὸν διὰ τοῦτο συνήθως ὀνομάζουσιν. Οὕτω δὲ παρέλαβεν ἡ τῶν Ἀρμενίων ἐκκλησία τούς τε θεσμοὺς καὶ τὰς διατυπώσεις καὶ τὸν ἐσωτερικὸν αὐτῆς ὀργανισμὸν παρὰ τῶν Ἑλλήνων ἱεραρχῶν Καισαρείας Καππαδοκίας, παρ' ὧν ἀπεστέλλοντο ἱεροὶ διδάσκαλοι πρὸς κατήχησιν καὶ διδασκαλίαν τῶν γειτόνων ἡμῶν Ἀρμενίων. Μετὰ δὲ τὴν κατ' ἀρχὰς τοῦ τετάρτου αἰῶνος εἰς τὰς οὐρανίους μονὰς μετάστασιν τοῦ ἱεροῦ Γρηγορίου οἱ πέντε μετ' αὐτὸν ἀρχιεπίσκοποι τῆς μεγάλης Ἀρμενίας ἐχειροτονήθησαν ἐν Καισαρείᾳ μέχρι Νερσῆ τοῦ Α'. εἰσὶ δ' οὗτοι Ἀριστάνης ὁ τὸν Γρηγόριον διαδεξάμενος ἐπισκοπεύσας ἔτη δύο. Βαρτάνης ὁ ἐπισκοπεύσας

(α) Εὐσεβ. ἐν βίῳ Κωνσταντίνου σελ. 153.
(β) Γρηγορ. Ναζ. Λογ. ιθ'. ὅρα καὶ τὰς ἐν τῷ τέλει προσθήκας.

ἔτη τρία. Γρηγόριος ὁ Β'. ἐπισκοπεύσας ἔτη ἕν δεκα. Ἰσαὰκ ὁ Α'. ἔτη ἕξ. Φαρνεσὲκ ἔτη τέσσαρα· ὁ δὲ Νερσῆς ὁ μετὰ Γρηγόριον ἕκτος οὗτος ἀρχιεπίσκοπος, ὁ ἐπωνομούμενος παρὰ Ἀρμενίοις Μέζ, ἤτοι μέγας, καθὼς οἱ πρὸ αὐτοῦ πέντε καὶ αὐτὸς ἐχειροτονήθη ἀρχιερεὺς ἐν Καισαρείᾳ παρά τε τοῦ Καισαρείας Καππαδοκίας Εὐσεβίου καὶ τῶν ἄλλων συνελθόντων ἐπισκόπων τῷ 340 ἔτει· ὁ ἐνάρετος οὗτος ἀνὴρ μυσαχθεὶς τὰς ἐδελυρὰς πράξεις τοῦ Ἀρσάκου τοῦ Γ'. παραιτησάμενος κατὰ τὸ 366 ἔτος τὴν ἄνομον αὐλὴν αὐτοῦ ὑπεχώρησεν εἰς ἀπῳκισμένον τόπον ὅπου ἐν σιωπῇ ἐθρήνησε πικρῶς τὴν διὰ σιδήρου καὶ πυρὸς ὑπὸ Περσῶν καταστροφὴν τῆς πατρίδος, τὴν αἰχμαλωσίαν τοῦ βασιλέως, τὴν τούτου τύφλωσιν καὶ κάθειρξιν τῷ 367 εἰς τὸ κατὰ τὴν Σουσιανὴν τρομερὸν φρούριον τῆς λήθης· κατὰ δὲ τὸ 370 ἔτος ἀπὸ τῆς ἀπῳκισμένης καταφυγῆς αὐτοῦ μετέβη ὁ γηραιὸς Νερσῆς εἰς Καισάρειαν ἵνα ἐπιζητήσῃ ἐκ τοῦ πλησίον τὴν τοῦ αὐτοκράτορος Οὐάλεντος ἐπικουρίαν πρὸς ἀπολύτρωσιν τῆς Ἀρμενίας· παρευρέθη δὲ καὶ ἐν τῇ κηδείᾳ τοῦ ἀρχιεπισκόπου Καισαρείας Εὐσεβίου καὶ κατὰ τὸν τοῦ μεγάλου Βασιλείου προβιβασμὸν τῷ 371 ἔτει ἐπὶ τὸν τῆς Καισαρείας θρόνον, ὅπου, κατὰ τὴν 92 ἐπιστολὴν τοῦ οἰκουμενικοῦ τούτου διδασκάλου ὑπέγραψε καὶ ὁ Νερσῆς μετὰ τῶν λοιπῶν τριάκοντα δύο ἐπισκόπων τὴν παρὰ τοῦ μεγάλου Βασιλείου σταλεῖσαν πρὸς τοὺς ἐν Ἰταλίᾳ καὶ Γαλλίᾳ ἐπισκόπους ἐπιστολήν· μετὰ δὲ τὴν διὰ τῶν Ῥωμαϊκῶν ὅπλων ἀποδίωξιν τῶν ἐχθρῶν καὶ ἀποκατάστασιν τοῦ νεωτάτου τὴν ἡλικίαν υἱοῦ τοῦ Ἀρσάκου Φάρμη ἤ Μπάπ εἰς τὴν βασιλείαν τῆς μεγάλης Ἀρμενίας, ἐπειδὴ ὁ Νερσῆς οὐ διέλειπε συμβουλεύων, ἐπιπλήττων καὶ ἀποτρέπων τὸν εἰκοσαετῆ πατρῴζοντα βασιλέα ἀπὸ τῶν ἀνοήτων παρεκτροπῶν αὐτοῦ, διὰ δηλητηρίου κεράσματος ἐπὶ τραπέζης τὸν ἱερὸν ἄνδρα ἐξήγαγε τοῦ βίου τῷ 374· κατὰ δὲ τοῦτον τὸν χρόνον ὁ μέγας Βασίλειος τῇ ποιμαντορικῇ τῶν Καισαρέων διαπρέπων ἐπιστασίᾳ, μυσαχθεὶς τὴν τοιαύτην μιαιφονίαν ἀπέβαλε τὴν χειροτονίαν τοῦ παρὰ τοῦ ἀρχιεροκτόνου βασιλέως προβληθέντος διαδόχου τοῦ θρόνου Ἰσακοκὴν ἤ Ἰσαὰκ τοῦ Β'. Οὕτω δὲ ἐφεξῆς οἱ μετὰ Βασίλειον διάδοχοι

τοῦ θρόνου τῆς Καισαρείας ἔπαυσαν τοῦ χειροτονεῖν τοὺς ἀρχιεπισκόπους τῆς μεγάλης Ἀρμενίας (α). Οὐ μόνον δὲ τῆς μεγάλης Ἀρμενίας ἀλλὰ καὶ πάσης Ποντικῆς διοικήσεως ἡ Καππαδοκία ἦν μητρόπολις καὶ ὁ ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας ὁ ἀνώτατος καθηγεμὼν καὶ ἐπιστάτης καὶ ἔξαρχος· ἡ δὲ Ποντικὴ διοίκησις, ἧς τὸ πρῶτον μνεία γίνεται ἐν τῇ ἐπιστολῇ Κωνσταντίνου τοῦ μεγάλου, ἣν ἔγραψε ταῖς ἐκκλησίαις περὶ τοῦ τελεῖσθαι τὸ Πάσχα τὴν αὐτὴν ἡμέραν (β), περιελάμβανε τὴν Καππαδοκίαν, Γαλατίαν, Φρυγίαν, μικρὰν Ἀρμενίαν, Πόντον τε καὶ Παφλαγονίαν καὶ Βιθυνίαν καὶ ἕνδεκα ἐπαρχίας ἐν τοῖς χρόνοις Θεοδωρήτου, περιελάμβανε δὲ πλέον τοῦ ἡμίσεος τῆς μικρᾶς Ἀσίας· μεταξὺ δὲ τοῦ Ἱεροσολύμων ἐπισκόπου καὶ τοῦ Καισαρείας, ἦν μόνον ὁ Θεσσαλονίκης, ὅστις, φαίνεται ὅτι ἔσχε τὸ αὐτὸ ἀξίωμα· λέγεται μάλιστα ὅτι ἕως τῆς ἐν Χαλκηδόνι συνόδου, ἐν ᾗ ὑπετάγη πως ὁ Καισαρείας τῷ τῆς Κωνσταντινουπόλεως ἀρχιεπισκόπῳ, ἔσχε πάντα τὰ δικαιώματα πατριάρχου πρὶν νὰ γείνῃ τὸ ὄνομα τοῦτο ἐν χρήσει, δηλαδὴ νὰ συγκαλῇ συνόδους διοικήσεως, ἐν τῇ ὑφ' ἑαυτὸν τελούσῃ διοικήσει τῇ Ποντικῇ καλουμένῃ καὶ νὰ χειροτονῇ πάντας τοὺς μητροπολίτας περὶ δὲ τούτων ὁμιλήσομεν παρακατιόντες.

§. 30. Λεοντίου δὲ πρὸς Κύριον ἐκδημήσαντος προέστη, κατὰ Σωκράτην καὶ Σωζόμενον, τῆς Καισαρέων ἐκκλησίας Εὐλάλιος ἢ Εὐλάβιος, Εὐσταθίου ἐκείνου τοῦ διαβοήτου τῆς Σεβαστείας ἐπισκόπου πατὴρ, ὁ καθαιρέσας αὐτὸν διὰ τὰς ἀτόπους πράξεις κατὰ τὴν ἀνάρμοστον εἰς τὸ ἱεραδικὸν ἐπάγγελμα ἐνδυμασίαν αὐτοῦ «Εὐστάθιος δὲ ὁ τῆς ἐν Ἀρμενίᾳ Σεβαστείας οὔτε εἰς ἀπολογίαν ἐδέχθη· διότι ὑπὸ Εὐλαβίου τοῦ ἰδίου πατρὸς καὶ ἐπικόπου Καισαρείας τῆς ἐν Καπαδοκίᾳ ἤδη πρότερον καθῄρητο, ἐπειδὴ ἀνάρμοστον τῇ ἱερωσύνῃ στολὴν ἠμφίεστο» (γ). «Εὐσταθίου δὲ πρῶτον μὲν ὡς ἡνίκα πρεσβύτερος ἦν προκατεγνώκει αὐτοῦ Εὐ-

(α) Κωνσταντινιάδ. σελ. 225.
(β) εὐσ. βίῳ Κωνς. βιβλ. Γ', 17.
(γ) Σωκρ. ἐκκλ. ἱς. βιβλ. Β'. 43.

λάλιος ὁ πατὴρ καὶ τῶν εὐχῶν ἀφώρισεν ἐπίσκοπος ὢν τῆς ἐν Καππαδοκίᾳ ἐκκλησίας Καισαρείας.» (α)

§. 31. Τοῦτον δὲ διαδέχεται ὁ Ἑρμογένης, ὃν ὁ Βασίλειος μακαριώτατον καλεῖ « . . . τοῦ μακαριωτάτου Ἑρμογένους τοῦ τὴν μεγάλην καὶ ἄρρητον πίστιν γράψαντος ἐν τῇ μεγάλῃ Συνόδῳ» ἐπιστ. ΠΑ'. καὶ «μετέθεντο πρὸς Ἑρμογένην τὸν κατὰ διάμετρον ἐχθρὸν ὄντα τῆς Ἀρείου κακοδοξίας, ὡς δηλοῖ αὐτὴ ἡ πίστις ὁ κατὰ Νίκαιαν παρ' ἐκείνου τοῦ ἀνδρὸς ἐκφωνηθεῖσα ἐξ ἀρχῆς» ἐπιστ. ΣΜΔ'. καὶ «ἐπειδὴ ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ (ὁ Σεβαστείας Εὐστάθιος), τῷ μακαριωτάτῳ ἐπισκόπῳ Ἑρμογένει τῆς Καισαρείας, κρίνοντι αὐτὸν ἐπὶ τῇ κακοδοξίᾳ ὁμολογίαν ἔδωκε πίστεως ὑγιοῦς καὶ οὕτω τὴν χειροτονίαν ὑπ' αὐτοῦ δεξάμενος κτλ.» ἐπιστ. ΣΞΓ'. οἱ λόγοι τοῦ μεγάλου Βασιλείου δεικνύουσιν ὅτι ὁ Ἑρμογένης παρὼν ἐν τῇ κατὰ Νίκαιαν Οἰκουμενικῇ Συνόδῳ μετὰ τοῦ ἐπισκόπου Καισαρείας Λεοντίου συνέθηκε τὸ σύμβολον τῆς πίστεως καὶ φαίνεται μὲν ὅτι τότε ἦν διάκονος, ἀλλ' ἠδύνατο νὰ ᾖ καὶ λαϊκὸς διότι συμπαρῆσαν ἐν τῇ συνόδῳ ἐκείνῃ καὶ λαϊκοὶ συνήγοροι τῶν ἐπισκόπων ὡς λέγει ὁ Σωκράτης «συμπαρῆσαν δὲ καὶ λαϊκοὶ πολλοὶ διαλεκτικῆς ἔμπειροι ἐν ἑκατέρῳ μέρει συνηγορεῖν προθυμούμενοι» (β)· ἀπεδήμησε δὲ ὁ Ἑρμογένης πρὸ τοῦ 341 ἔτους, ὅτε ὁ Εὐσέβιος ἐκεῖνος ὁ τῶν Ἀρειανῶν ἀρχηγὸς ἀπέθανεν.

§. 32. Ἦσαν δὲ ὀπαδοὶ τοῦ Εὐσεβίου οἱ καὶ Εὐσεβιανοὶ καλούμενοι καὶ τὰ τοῦ Ἀρείου φρονοῦντες ἐκ Καππαδοκίας, Γρηγόριος ὁ Καππαδόκης ὁ διὰ τῆς κοσμικῆς ἐξουσίας βίᾳ ἀναγορευθεὶς Ἀλεξανδρείας ἀντὶ τοῦ Ἀθανασίου, οὗτινος Γρηγορίου

(α) Σωζ. ἐκκλ. ἱς. βιβλ. Δ', 24.

(β) Σωκρ. ἐκκλ. στ'. βιβλ. Α', 7. Περὶ δόξαν τῶν Καππαδοκῶν ἀναφέρω ὅτι ὅ,τε ἐν τῇ Α'. Οἰκουμενικῇ Συνόδῳ τὸ πρῶτον τὸ σύμβολον συνθεὶς ἦν Καππαδόκης οὗτος Ἑρμογένης καὶ ὁ ἀπὸ τοῦ Η'. ἄρθρου καὶ ἑξῆς ἀναπληρώσας αὐτὸ ἐν τῇ ϛ'. Οἰκουμενικῇ συνόδῳ ἦν αὖθις Καππαδόκης ὁ Νύσσης Γρηγόριος ἀλλὰ οὐδόλως ὠφελεῖ ἡ πατραγαθία ἄν δὲν ἀκολουθῇ αὐτῇ ἡ ἀνδραγαθία· ὀφείλομεν οὖν ἐκ τῶν προγονικῶν τούτων κρατήρων ἐμφορούμενοι τὴν ὀρθοδοξίαν διατηρεῖν ἀλώβητον.

ἐν τῇ εἰς Ἀλεξάνδρειαν εἰσόδῳ ἐπράχθησαν μιαρὰ καὶἀνόσια, ἡ τοῦ Κυρίου καλουμένη ἐκκλησία ὑπέμεινεν ἐμπρησμὸν, παρθένοι ἐγυμνώθησαν, μονάζοντες κατεπατήθησαν, πρεσβύτεροι ἠκίσθησαν, ἐπίσκοποι ἐφυλακίσθησαν, τὰ ἅγια μυστήρια ὑπὸ ἐθνικῶν διηρπάσθησαν καὶ εἰς γῆν κατεβλήθησαν (α).—Γεώργιος ὁ σφετεριστὴς τοῦ ἐν Κωνσταντινουπόλει ταμείου, ὃν οἱ ἐχθροὶ τοῦ Ἀθανασίου κατέστησαν Ἀλεξανδρείας ἐπίσκοπον, καὶ ἐπ' αὐτοῦ πολλὰ κακὰ συνέβησαν ἐν Ἀλεξανδρείᾳ (β). — Θεοφρόνιος Τυάνων ἐπίσκοπος ὅστις συνέθεσεν ὁμολογίαν τῆς πίστεως ἐν σκοτειναῖς ἐκφράσεσιν οὐδαμῶς μνείαν ποιούμενος τοῦ ὁμοουσίου.—Ἀστέριος ὁ σοφιστὴς, ὅστις τὸ πρότερον ἐθνικὸς ὢν προσῆλθεν ἔπειτα εἰς Χριστιανισμὸν, καὶ μαθητὴς γενόμενος τοῦ μάρτυρος Λουκιανοῦ τοῦ Ἀντιοχέως, ἐπὶ τοῦ διωγμοῦ τοῦ Μαξιμιανοῦ ἀπηρνήθη τὴν τοῦ Χριστοῦ πίστιν, καὶ ἔθυσε τοῖς εἰδώλοις· ἀλλ' ὕστερον μετανοήσας κατὰ προτροπὴν τοῦ διδασκάλου ἐπηνώρθωσε τὸ πτῶμα· τότε δὲ «συνῆν συνεχῶς καὶ τοῖς ἐπισκόποις τοῖς μάλιστα τὴν Ἀρειανῶν δόξαν μὴ ἀθετοῦσι. Καὶ δὴ καὶ εἰς τὰς συνόδους ἁπάντα, ὑποδῦναι μιᾶς πόλεως ἐπισκοπὴν προθυμούμενος· ἀλλ' ἱερωσύνης μὲν ἠστόχησε, διὰ τὸ ἐπιτεθυκέναι κατὰ τὸν διωγμόν· περιιὼν δὲ τὰς ἐν Συρίᾳ πόλεις, οὓς συνέταξε λόγους ἐπεδείκνυτο κτλ.» (γ) κατὰ τούτου δὲ ἔγραψε Μάρκελλος ὁ Ἀγκύρας ἐπίσκοπος.

§. 38. Τὸν δ' Ἑρμογένην διεδέξατο Διάνοιος, ἀνὴρ τἆλλα μὲν ἐνάρετος, ἀλλὰ μὴ ἔχων τὸν ἀπαιτούμενον ζῆλον ἵνα δυνηθῇ νὰ κωλύσῃ τὴν πρόοδον τοῦ ἀρειανισμοῦ καὶ μάλιστα πολλάκις ὑποχωρῶν τοῖς φρονοῦσι τὰ τοῦ Ἀρείου· ἐπειδὴ παραστὰς τῷ 341 ἐν τῇ κατὰ Ἀντιόχειαν συνόδῳ (δ), ἐν ᾗ καθῃρέσαν Ἀθανάσιον τὸν μέγαν, τὸν τῆς Ἀλεξανδρέων ἐκκλησίας προϊστάμενον, ὑπέγραψε τρία σύμβολα κατὰ τοῦ συμβόλου τῆς Νικαίας, ὧν μάλιστα τὸ τρίτον ἦν Θεοφρονίου Τυάνων, ἐπισκόπου τελοῦντος

(α) Γρηγ. Ναζ. Λόγ. πρὸς Ἀθανάσιον καὶ Ἀθανάσ. Ἀπολογητ. Β'. καὶ τὰ Ἀρειανῶν.

(β) αὐτόθι.

(γ) Σωκρ ἐκκλ. ἱστ. βιβλ. Α', κέφ. 36.

(δ) Σωζ. ἐκκλ. ἱστ. βιβλ. Γ', 5.

ὑπὸ τὸν Καισαρείας· ἔγραψε δὲ καὶ ἐπιστολὴν Ἰουλίῳ τῷ ἐπισκόπῳ Ῥώμης ἵνα δικαιολογήσῃ τὰς διαιοπραγίας τὰς γενομένας κατὰ τῶν ὑπερασπιστῶν τῆς πίστεως· εἶτα δὲ τῷ 347 ἔτει ἦλθε μετὰ τῶν Ἀρειανῶν εἰς τὴν ἐν Σαρδικῇ σύνοδον καὶ ἀπεχωρίσθη σὺν αὐτοῖς τῶν ὀρθοδόξων ἐπισκόπων, ἀναθεματίσας μετ' ἐκείνων τὸν Ἀθανάσιον, τὸν πάπαν Ἰούλιον, τὸν μέγαν Ὅσιον καὶ τὸν Μαξιμῖνον. Τέλος δὲ ὑπέγραψε μετ' αὐτῶν καὶ τὴν ὁμολογίαν τὴν ἐν Ἀριμίνῳ· τοῦθ' ὅπερ ἠνάγκασε καὶ τὸν Βασίλειον μετὰ πολλῶν εὐσεβῶν Καισαρέων νὰ χωρισθῇ τῆς κοινωνίας αὐτοῦ καίπερ παρ' αὐτοῦ βαπτισθέντα (α). Ἀλλ' ὁ Διάνιος μικρὸν μετὰ ταῦτα ἀσθενήσας μετεπέμψατο τὸν Βασίλειον καὶ ὡμολόγησεν ὅτι ἁπλότητι ψυχῆς εἶχεν ὑπογράψῃ τὴν ἐν Ἀριμίνῳ ὁμολογίαν καὶ ὅτι δέχεται τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν, ὡς λέγει αὐτὸς ὁ Βασίλειος «ἐγὼ δὲ, εἰπέ μοι, τὸν μακαριώτατον Διάνιον ἀνεθεμάτισα; τοῦτο γὰρ ἡμῶν κατηγγειλαν. Ποῦ ἢ πότε; τίνων παρόντων; ἐπὶ ποίᾳ προφάσει; ψιλοῖς ῥήμασιν ἢ ἐγγράφοις; ἑτέροις ἀκολουθῶν ἢ αὐτὸς κατάρχων καὶ αὐθεντῶν τοῦ τολμήματος; ὦ τῆς ἀναιδείας τῶν πάντα φθεγγομένων ῥαδίως! . . . ἀλλ' ἐκεῖνο μᾶλλον ἐμαυτῷ συνεπίσταμαι ὅτι ἐκ πρώτης ἡλικίας συνετράφην τῷ περὶ αὐτὸν φίλτρῳ καὶ ἀπέβλεπον πρὸς τὸν ἄνδρα, ὡς μὲν γεραρὸς ἰδεῖν, ὡς δὲ μεγαλοπρεπής, ὅσον δὲ ἔχων τὸ ἱεροπρεπὲς ἐν τῷ εἴδει· ἐπεὶ δὲ μοι λοιπὸν καὶ ὁ λόγος παρῆν, τότε δὴ καὶ ἀπὸ τῶν τῆς ψυχῆς ἀγαθῶν αὐτὸν ἐπεγίνωσκον· καὶ ἕκατρον αὐτοῦ τῇ συνουσίᾳ, τὸ ἁπλοῦν καὶ γενναῖον καὶ ἐλευθέριον τοῦ τρόπου καταμανθάνων καὶ ὅσα ἄλλα τοῦ ἀνδρὸς ἴδια, ἡ τῆς ψυχῆς ἡμερότης,, τὸ μεγαλοφυές τε ὁμοῦ καὶ πρᾷον, τὸ εὐπρεπὲς, τὸ ἀόργητον, τὸ φαιδρὸν καὶ εὐπρόσιτον τῇ σεμνότητι κεκραμένον· ὥστε αὐτὸν ἐναρίθμιον εἶχον τοῖς περιφανεστάτοις κατ' ἀρετήν. Περὶ μέντοι τὰ τελευταῖα τοῦ βίου (οὐ γὰρ ἀποκρύψομαι τἀληθὲς) ἐλυπήθην ἐπ' αὐτῷ λύπην οὐκ ἀνεκτὴν μετὰ πολλῶν τῶν ἐν τῇ πατρίδι φοβου-

(α) Βασίλ. περὶ τοῦ ἁγίου Πνεύμ. §. 29.

μένων τὸν Κύριον, ἐπὶ τῇ ὑπογραφῇ τῆς πίστεως τῆς ὑπὸ τῶν περὶ Γεώργιον ἀπὸ τῆς Κωνσταντινουπόλεως κομισθείσης εἶτα οἷος ἐκεῖνος πραότητι τρόπου καὶ ἐπιεικείᾳ πάντας πληροφορεῖν ἐν σπλάγχνοις πατρικοῖς ἀνεχόμενος, ἤδη καταπεσὼν εἰς τὴν ἀρρωστίαν, ὑφ' ἧς καὶ μετῆλθεν ἀπὸ τοῦ βίου, προσκαλεσάμενος ἡμᾶς ἔφη· ὑπὸ μάρτυρι τῷ Κυρίῳ ἐν ἁπλότητι καρδίας συντεθεῖσθαι μὲν τῷ ἀπὸ τῆς Κωνσταντινουπόλεως γραμματείῳ, μηδὲν δὲ ἐπ' ἀθετήσει τῆς κατὰ Νίκαιαν ὑπὸ τῶν ἁγίων πατέρων ἐκτεθείσης πίστεως προελέσθαι· μηδὲ ἄλλως ἔχειν ἐν τῇ καρδίᾳ ἢ ὡς παρέλαβεν ἐξ ἀρχῆς· ἀλλὰ καὶ εὔχεσθαι μὴ χωρισθῆναι τῆς μερίδος τῶν μακαρίων ἐκείνων ἐπισκόπων τῶν τριακοσίων δέκα ὀκτὼ, τῶν τὸ εὐσεβὲς κήρυγμα διαγγειλάντων τῇ οἰκουμένῃ· ὥστε ἡμᾶς ἐπὶ τῇ πληροφορίᾳ ταύτῃ λύσαντας πᾶσαν τῶν καρδιῶν τὴν διάκρισιν, ὡς καὶ αὐτὸς ἐπίστασαι, προσελθεῖν τῇ κοινωνίᾳ καὶ λυπουμένους παύσασθαι· τὰ μὲν οὖν ἡμέτερα πρὸς τὸν ἄνδρα τοιαῦτα» . . . (α)· ἐπειδὴ δὲ μιμούμενος τοῦτον καὶ ὁ πατὴρ Γρηγορίου τοῦ θεολόγου Γρηγόριος ὁ Ναζιανζοῦ ἐδέχθη τὸ ἐν Ἀριμίνῳ σύμβολον ἀνέστησαν στασιαστικῶς οἱ μοναχοὶ κατ' αὐτοῦ, ὧν τὸν ζῆλον ἐπαινεῖ ὁ Γρηγόριος λέγων « . . . καθ' ὃν κινεῖται μὲν ἀφ' ἡμῶν ὅσον φιλόσοφον καὶ φιλόθεον καὶ πρὸ καιροῦ τοῖς ἄνω πολιτευόμενον· οἳ κἂν τἆλλα ὦσιν εἰρηνικοί τε καὶ μέτριοι, τοῦτό γε οὐ φέρουσιν ἐπιεικεῖς εἶναι, θεὸν προδιδόναι διὰ τῆς ἡσυχίας· ἀλλὰ καὶ λίαν εἰσὶν ἐνταῦθα πολεμικοί τε καὶ δύσμαχοι· τοιοῦτον γὰρ ἡ τοῦ ζήλου θερμότης· καὶ θᾶττον ἄν τι μὴ δέον παρακινήσαιεν ἢ δέον παραλίποιεν, συναπορρήγνυται δὲ καὶ τῶν λαῶν οὐκ ἐλάχιστον κτλ» (β). Ταῦτα δὲ τὰ κατὰ Διάνιον ὑπαινιττόμενος ὁ αὐτὸς λέγει « . . . ἐπεὶ δὲ ἠλέγχθημεν ὄντες ἄνθρωποι καὶ οὐ πάντῃ διεφύγομεν τοῦ πονηροῦ τὸν φθό-

(α) Βασιλ. ἐπιστ. 51.

(β) Γρηγορ. Ναζ. Λόγ. ΚΑ'. τὸ δὲ Ἀριμίνον ἦν ἐν Ἰταλίᾳ ἔνθα συνῆλθον οἱ δυτικοὶ ἐπίσκοποι ὅπως διαλύσωσι τὴν ἔριδα ἥτις ὑπῆρχε μεταξὺ τῶν Ἀρειανῶν καὶ ἡμιαρειανῶν ἐπὶ τῷ αὐτῷ σκοπῷ συνῆλθε καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας σύνοδος τῶν ἀνατολικῶν ἐπισκόπων (359)· ἐκκλ. ἱστορ. Α. Διομ. Κυριακ. σελ. 119.

νον οὐδὲ τῆς πάντα κατεχούσης νόσου κρειττους περήναμεν, ἀλλὰ τῆς κοινῆς συμφορᾶς μέρος καὶ αὐτοὶ μετειλήφαμεν καὶ τὴν καλὴν καὶ πατρῴαν κληρονομίαν, τὸ τῆς ὁμονοίας ἀγαθὸν, οὐκ εἰς τέλος διεφυλάξαμεν, οὐ μικρὸν μὲν κἀνταῦθα τοὺς ἄλλους ἐπλεονεκτήσαμεν, εἶτι δεῖ καὶ καυχήσασθαι κατὰ τῆς ἡμετέρας ἔχθρας Χριστῷ θαρρήσαντας τὸ καὶ τελευταῖοι ταῦτα παθεῖν καὶ πρῶτοι διορθωθῆναι» (α)· ἑτέρωθι δὲ λέγει « . . . τοσοῦτον εὐδοξίᾳ κρατοῦσαν. . . καὶ γὰρ ἡνίκα παρὰ τοῦ θερμοτέρου μέρους τῆς ἐκκλησίας κατεστιάθημεν, γράμματι κλαπέντες καὶ ῥήμασι τεχνικοῖς εἰς πονηρίαν κοινωνίαν μόνος μὲν ἐπιστεύθη τὴν διάνοιαν ἄτρωτον ἔχειν καὶ μὴ τῷ μέλανι τὴν ψυχὴν συμμελαίνεσθαι, εἰ καὶ ἁπλότητι συνηρπάσθη καὶ τὸν δόλον ἐκ τοῦ τῆς ψυχῆς ἀδόλου μὴ ἐφυλάξατο (ὁ πατὴρ Γρηγόριος)· μόνος δὲ, μᾶλλον δὲ πρῶτος τὸ στασιάζον πρὸς ἡμᾶς, ζήλῳ τῆς εὐσεβείας ἑαυτῷ τε καὶ τοῖς ἄλλοις κατήλλαξε, τελευταῖον τ' ἀποδραμὸν καὶ πρῶτον προσδραμὸν αἰδοῖ τε τοῦ ἀνδρὸς καὶ τῇ τοῦ δόγματος καθαρότητι· ὥστε καὶ τὸν πολὺν σάλον τῶν ἐκκλησιῶν κατασβεσθῆναι καὶ στῆναι τὴν καταιγίδα εἰς αὔραν, ταῖς ἐκείνου λυθεῖσαν εὐχαῖς τε καὶ παραινέσεσιν, εἶτι δεῖ καὶ νεανιεύσασθαι μεθ' ἡμῶν κοινωνῶν καὶ τῆς εὐσεβείας καὶ τῆς ἐνεργείας· οἱ πρὸς πᾶν ἀγαθὸν αὐτῷ συναιρόμενοι καὶ οἷον παρομαρτοῦντες καὶ παραθέοντες, ἐνταῦθα πλεῖστον μέρος συνεισενεγκεῖν ἠξιώθημεν» (β)· ἐτελεύτησε δὲ ὁ Διάνιος τῷ 362 ἔτει μεσοῦντι.

§. 34. Κατὰ δὲ τούτους τοὺς χρόνους (345) ὁ Ἰουλιανὸς τὸ δέκατον τέταρτον ἢ δέκατον πέμπτον ἔτος ἄγων τῆς ἡλικίας, μετὰ τοῦ ἀδελφοῦ Γάλλου, ἐπέμφθη ὑπὸ τοῦ θείου Κωνσταντίνου εἴς τι φρούριον ἐν Καππαδοκίᾳ· ἦν δὲ τοῦτο χωρίον βασιλικὸν Μάκελλον καλούμενον ἐν τῇ ὑπωρείᾳ τοῦ Ἀργαίου ἐγγὺς τῆς Καισαρείας· εἰ δὲ καὶ θεραπείας καὶ διαίτης ἠξιοῦντο ἡγεμονικῆς, τὸ φρούριον ὅμως τοῦτο δι' αὐτοὺς ἦν μεγαλοπρεπές τι δεσμωτήριον, οἱ πιστευτέον Ἰουλιανῷ «πῶς ἂν ἐνταῦθα φράσαι-

(α) Γρηγ. Ναζ. Λόγ· ΙΒ', σελ· 196.
(β) ὁ αὐτὸς Λόγ. ιθ', 297.

μι, λέγει, περὶ τῶν ἐξ ἐνιαυτῶν, ὡς ἐν ἀλλοτρίῳ κτήματι διαγαγόντες, ὥσπερ οἱ παρὰ Πέρσαις ἐν τοῖς φρουρίοις τηρούμενοι, μηδενὸς ἡμῖν προσιόντος ξένου, μηδὲ τῶν πάλαι γνωρίμων ἐπιτρεπομένου τινὸς ὡς ἡμᾶς φοιτᾶν, διεζῶμεν ἀποκεκλεισμένοι παντὸς μὲν μαθήματος σπουδαίου, πάσης δὲ ἐλευθέρας ἐντεύξεως· ἐν ταῖς λαμπραῖς οἰκετείαις καὶ τοῖς ἡμῶν δούλοις, ὥσπερ ἑταίροις, συγγυμναζόμενοι. . . » (α) Ἀλλὰ τούτοις παραβλητέον ὅσα περὶ τῆς ἐν Μακέλλῳ διατριβῆς αὐτῶν εἴρηται Γρηγορίῳ τῷ Ναζιανζηνῷ καὶ Σωζομένῳ, ἐξ ὧν συνάγεται ὅτι ἐκεῖ ἐπαιδεύοντο πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν καὶ μάλιστα τὴν Χριστιανικὴν φιλοσοφίαν· καὶ ὁ μὲν Γρηγόριος λέγει « . . . διαίτης μὲν καὶ θεραπείας ἔν τινι τῶν βασιλικῶν χωρίων ἠξιοῦντο βασιλικῆς παρὰ τοῦ φιλανθρωποτάτου βασιλέως, ὡς τοῦ γένους λείψανα τῇ βασιλείᾳ τηρούμενοι. ὁμοῦ μὲν ἀπολογίαν ἐπινοοῦντος τῶν νεωτερισθέντων ἐν ἀρχῇ τῆς βασιλείας, ὡς οὐ κατ' ἐκείνου γνώμην τετολμημένων, ὁμοῦ δὲ καὶ τὸ μεγαλόψυχον ἐπιδείξασθαι ζητοῦντος τῇ κοινωνίᾳ τῆς βασιλείας, καὶ τρίτον τὴν ἀρχὴν κτλ» (β). ὁ δὲ Σωζόμενος λεγει ὁτι «ὀρφανοὶ δὲ πατρὸς γενόμενοι καὶ αὐτοὶ τότε Δαλματίῳ συναπολέσθαι ἐκινδύνευον· ἐξείλετο δὲ τῆς ἐπιβουλῆς Γάλλον μὲν ὅτι νοσῶν ἔτυχε καὶ ὅσον οὔπω αὐτομάτως προσεδοκήθη. Ἰουλιανὸν δὲ τὸ νέον· ἔτι γὰο ὄγδοον ἡλικίας ἦγεν ἔτος· παραδόξως δὲ ὧδε διασωθέντες προστάχθησαν ἐν Καππαδοκίᾳ διατρίβειν ἐν Μακέλλῳ· χωρίον δὲ τοῦτο βασιλικὸν πρὸς τῷ Ἀργαίῳ ὄρει οὐκ ἀπὸ πολλοῦ τῆς Καισαρέων πόλεως, μεγαλοπρεπῆ τε βασίλεια ἔχων καὶ λουτρὰ καὶ κήπους, καὶ πηγὰς ἀενάους, ἔνθα δὴ θεραπείας καὶ ἀγωγῆς βασιλικῆς ἠξιοῦντο, καὶ μαθήμασι καὶ γυμνασίοις τοῖς καθ' ἡλικίαν ἐχρῶντο, καὶ λόγων διδασκάλοις, καὶ τοῖς ὑφηγηταῖς τῶν ἁγίων Γραφῶν, ὡς καὶ κλήρῳ ἐγκαταλεγῆναι, καὶ ὑπαναγινώσκειν τῷ λαῷ τὰς ἐκκλησιαστικὰς βίβλους· οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν ἠθῶν καὶ τῶν ἔργων τὴν εὐσέβειαν ἐπεδείκνυντο περὶ πολλοῦ ποιούμενοι τοὺς

(α) Ἰουλ· ἐπιστ· πρὸς Ἀθηναίους.
(β) Γρηγ. Ναζ. Λόγ· Γ', 58—61.

ἱερέας, καὶ τοὺς ἄλλως ἀγαθοὺς, καὶ περὶ δόγμα σπουδαίους, τοῖς τε εὐκτηρίοις οἴκοις θαμίζοντες, καὶ ταῖς προσηκούσαις τιμαῖς τὰς τῶν μαρτύρων θήκας γεραίροντες· τηνικαῦτα γοῦν φασὶν αὐτοὺς σπουδάζοντας μεγίστῳ περιλαβεῖν οἴκῳ τὸν τάφον Μάμα τοῦ μάρτυρος εἰς ἀμφοτέρους μερίσαι τὸ ἔργον· ἀμιλλωμένους δὲ ἑκατέρου φιλοτιμίᾳ καὶ τιμῇ ὑπερβάλλεσθαι τὸν ἕτερον, παράδοξον συμβῆναι καὶ παντελῶς ἄπιστον· εἰ μὴ πολλοὶ τῶν ἀκηκόοτων παρὰ τῶν τεθεαμένων μέχρι καὶ εἰς ἡμᾶς περιῆσαν· τὸ μὲν γὰρ Γάλλου μέρος ἐπεδίδου καὶ κατὰ γνώμην προὐχώρει, τῶν δὲ Ἰουλιανοῦ ποιημάτων τὰ μὲν ἠρείπωτο, τὰ δὲ ἐκ τῆς γῆς ἀνεδίδοτο, τὰ δὲ παραυτίκα συνάπτεσθαι πρὸς τὸ ἔδαφος οὐκ ἠνείχετο, οἷά γε ἐξ ἀντιτύπου καὶ βιαίου τινὸς δυνάμεως κάτωθεν ἀντωθούσης ἀνακρουόμενα· πᾶσι δὲ εἰκότως τεράστιον ἐδόκει τὸ πρᾶγμα, καὶ τοῖς μὲν πολλοῖς τῇ ἀποβάσει ἐκρίθη· οἱ δὲ ἐξ ἐκείνου συνέβαλλον μὴ ὑγιῶς ἔχειν τὸν ἄνδρα περὶ τὴν θρησκείαν, ἀλλ' εὐσεβεῖν πλάττεσθαι Χριστιανὸν ὄντα τὸν τότε κρατοῦντα ὑποκρινόμενον, καὶ εἰς τὸ προρανὲς ἐξάγειν τὴν γνώμην οὐκ ἀσφαλὲς ἡγούμενον» (α). Ὅτε δὲ ἐβασίλευσεν ὁ Ἰουλιάνος οἱ Καισαρεῖς περιέπεσον παραλόγῳ συμφορᾷ ἕνεκα τοῦ πρὸς αὐτοὺς μίσους, αὐτοῦ, προτιθεμένου νὰ καταλίπῃ τρανὰ σημεῖα τοῦ μίσους καὶ τῆς ἀπεχθείας ὅτι τε ἡ πόλις αὐτῶν κατῳκεῖτο σχεδὸν ὑπὸ μόνων Χριστιανῶν καὶ μητρόπολις ἦν τῶν ἄλλων ἐκκλησιῶν τῆς ἐπαρχίας, ἐν ᾗ ἐνόμιζεν ὅτι ἡ Χριστιανικὴ θρησκεία ἀκμάζει πλέον πολλῶν ἄλλων χωρῶν τῆς ἐπικρατείας· διὰ συντομίαν δὲ τὸ συμβὰν παραθέτομεν ὡς ἔχει παρὰ τῷ Σωζομένῳ «Περὶ δὲ τὸν αὐτὸν χρόνον καὶ τὴν πρὸς τῷ Ἀργαίῳ Καισάρειαν μεγάλην καὶ εὐδαίμονα καὶ μητρόπολιν οὖσαν τοῦ Καππαδοκῶν κλίματος ἐκ τοῦ καταλόγου τῶν πόλεων ἐξήλειψεν ὁ βασιλεὺς, καὶ τῆς ἐπωνυμίας τοῦ Καίσαρος ἀφείλετο, ἧς πάλαι ἔτυχεν ἐπὶ Κλαυδίου Καίσαρος Μάζακα τὸ πρῶτον ὀνομαζο-

(α) Σωζ. ἐκκλ. ἱστορ. βιβλ. Ε', 2, ὁλ. καὶ Θεοδωρ. βιβλ. Γ'. 2. Μάκελλον δὲ εἶναι τὸ πρὸς τῷ Ἀργαίῳ κωμήδιον Χησαρδζὴκ νῦν ὑπὸ Τούρκων οἰκούμενον ἐν χωρίῳ τερπνῷ, καταφύτῳ καὶ καταβρύτῳ, μᾶλλον δὲ τὸ πρὸς τοὺς νοτίους πρόποδας τοῦ Ἀργαίου Κόρεμε.

μένη. ἐμίσει γὰρ καὶ πρότερον ἐξαίσιον μῖσος τοὺς αὐτῆς οἰκήτορας ὡς πανδημεὶ χριστιανίζοντας, καὶ πάλαι καθελόντας τοὺς παρ' αὐτοῖς νεὼς *Πολιούχου Διὸς καὶ Πατρῴου Ἀπόλλωνος*· ἐπειδὴ δὲ καὶ ὁ τῆς *Τύχης*, ὃς μόνον περιελείφθη αὐτοῦ βασιλεύοντος πρὸς τῶν χριστιανῶν ἀνετράπη, δεινῶς ἀπηχθάνετο πάσῃ τῇ πόλει καὶ ἐδυσφόρει, καὶ Ἕλληνας μὲν τοὺς ὄντας εὐαριθμήτους μάλα ἐμέμφετο, ὡς μὴ ἐπαμύνοντας, καὶ εἰ παθεῖν ἔδει τι προθύμως ὑπὲρ τῆς Τ ύ χ η ς ὑπομείναντας· πάντα δὲ τὰ κτήματα καὶ τὰ χρήματα τῶν ἐν Καισαρείᾳ καὶ ὑπὸ τοὺς αὐτῆς ὅρους ἐκκλησιῶν ἁρπαγέντα μετὰ βασάνων εἰς μέσον φέρεσθαι προσέταξεν· αὐτίκα δὲ τριακοσίας λίτρας χρυσοῦ τῷ ταμείῳ ἐκτίσαι· κληρικοὺς δὲ πάντας γραφῆναι τῷ καταλόγῳ τῶν ὑπὸ τὸν ἄρχοντα τοῦ ἔθνους στρατιωτῶν, ὃ δαπανηρὸν εἶναι σφόδρα καὶ ἐπονείδιστον ἐν ταῖς τῶν Ρωμαίων στρατιαῖς νομίζεται· τὸ δὲ πλῆθος Χριστιανῶν σὺν γυναιξὶ καὶ παισὶν ἀπογράψασθαι, καὶ καθάπερ ἐν ταῖς κώμαις φόρους τελεῖν· ἔνορκον δὲ ἠπείλησεν ὡς εἰ μὴ τάχος τὰ ἱερὰ ἀνεγείρωσιν, οὐ παύσεται μηνιῶν καὶ κακοποιῶν τὴν πόλιν· καὶ οὐδὲ τὰς κεφαλὰς συγχωρήσει τοὺς Γαλιλαίους ἔχειν· ᾧδε γὰρ ἐπιτωθάζων καλεῖν εἴωθε τοὺς Χριστιανούς· ἐξέβη ἄν ἴσως εἰς ἔργον ἡ ἀπειλὴ εἰ μὴ θᾶττον ἐτελεύτησεν. . . Καὶ Εὐψύχιον Καισαρέα Καππαδόκων τῶν εὐπατριδῶν ἔναγχος γαμετὴν ἀγόμενον καὶ οἷον ἔτι νυμφίον ὄντα· συμβάλλω δὲ τὸν Εὐψύχιον ἀναιρεθῆναι διὰ τὸν ναὸν τῆς Τ ύ χ η ς, ἐφ' ᾧ τότε καθαιρεθέντι κοινῇ πάντες Καισαρεῖς τῆς τοῦ βασιλέως ὀργῆς ἐπειράθησαν· οἱ δὲ τῆς καθαιρέσεως αὐτουργοὶ δίκην ἔδοσαν οἱ μὲν θάνατον, οἱ δὲ τὴν πατρίδα φεύγειν καταδικασθέντες» (α). Τοιαῦτα μὲν τὰ κατὰ τοὺς Καισαρεῖς ἐπιδημοῦντος Ἰουλιανοῦ ἐν Καισαρείᾳ.

§. 35· Ἐν δὲ τούτῳ τῷ ἔτει τελευτήσαντος, ὡς εἴρηται, τοῦ Διανοίου οἱ Καισαρεῖς κατ' ἀρχὰς ἐδιχονόουν περὶ ἐκλογῆς διαδόχου, ἄλλων ἄλλον προτεινόντων, τέλος δὲ συμφρονήσαντες ἐξελέξαντο Εὐσέβιον, ἄνδρα ἐνάρετον καὶ ζηλωτὴν τῆς πίστεως, ἄ-

(α) Σωζ. ἐκκλ. ἱστ. βιβλ. Ε'. 4—11.

κοντα καὶ τοὺς ἐπὶ τούτῳ συνελθόντας ἐπισκόπους διάσαντες κατώρθωσαν νὰ χειροτονηθῇ οὗτος Καισαρείας ἀρχιεπίσκοπος· ὁ δὲ Ἰουλιανὸς τὰς διατριβὰς ἐνθάδε ποιούμενος καὶ θέλων νὰ μάθῃ τὴν διαφορὰν ταύτην, ἥν ἀπεκάλει ταραχὴν καὶ στάσιν, ἔπεμψεν ἐπιστολὴν ἀπειλητικὴν πρὸς τοὺς χειροτονήσαντας τὸν Εὐσέβιον ἐπισκόπους· ἀλλὰ Γρηγόριος ὁ Ναζιανζοῦ ἐπίσκοπος καὶ πατὴρ τοῦ θεολόγου παρρησιασάμενος τῷ βασιλεῖ δι' ἐπιστολῶν τὴν ὁρμὴν αὐτοῦ ἔστησε. Ταῦτα δὲ διηγεῖται ὁ Γρηγόριος ὧδε «ἐστασίαζεν ἡ Καισαρέων πόλις περὶ προβολὴν ἀρχιερέως τοῦ μὲν ὑπεξελθόντος, τοῦ δὲ ἐπιζητουμένου, καὶ ἡ στάσις θερμὴ, καὶ μὴ ῥᾳδίαν τὴν λύσιν ἔχουσα· φύσει τε γὰρ, περὶ τοῦτο μάλιστα, στασιώδης ἡ πόλις θερμότητα πίστεως, καὶ τὸ τῆς καθέδρας ἐπίδοξον πλείω τὴν φιλονεικίαν εἰργάζετο· ταῦτ' ἦν καὶ παρῆσαν τῶν ἐπισκόπων τινὲς τὸν ἀρχιερέα δώσοντες· ὡς δὲ εἰς πλείους τοῦ δήμου διαιρεθέντος καὶ ἄλλων ἄλλον προβαλλομένων, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν, ὡς ἕκαστος ἔτυχεν ἢ φιλίας πρός τινας ἔχων ἢ πρὸς θεὸν εὐλαβείας, τέλος συμφρονήσας ὁ δῆμος ἅπας τὸν πρῶτον παρ' αὐτοῖς ἕνα βίῳ μὲν ἐξηλεγμένον οὔπω δὲ τῷ θείῳ βαπτίσματι κατεσφραγισμένον τοῦτον ἄκοντα συναρπάσαντες, καὶ ἅμα στρατιωτικῆς χειρὸς συλλαβομένης αὐτοῖς τηνικαῦτα ἐπιδημούσης, ἐπὶ τὸ βῆμα ἔθεσαν καὶ τοῖς ἐπισκόποις προσήγαγον, τελεσθῆναι δὲ ἠξίουν, καὶ κηρυχθῆναι, πειθοῖ βίαν ἀναμίξαντες· οὐ λίαν μὲν εὐτάκτως, λίαν δὲ πιστῶς καὶ διαπύρως· κἀνταῦθα οὐκ ἔστιν εἰπεῖν ὅντινα εὐδοκιμώτερον ἐκείνου, καὶ θεοσεβέστερον διέδειξεν ὁ καιρός· τί γὰρ γίνεται; καὶ ποῖ προῆλθεν ἡ στάσις; ἐβιάσθησαν ἥγνισαν, ἀνεκήρυξαν ἐπὶ τὸν θρόνον, ἔθεσαν χειρὶ μᾶλλον ἢ γνώμῃ καὶ διαθέσει πνεύματος· ἐδηλώθη δὲ τοῖς μετὰ ταῦτα· ὡς γὰρ ἀπηλλάγησαν ἄσμενοι, καὶ γνώμης ἐγένοντο κύριοι, βουλὴν βουλεύονται σὺν ἀλλήλοις οὐκ οἶδα μὲν εἰ πνευματικὴν, βουλεύονται δὲ ὅμως μηδὲν κύριον ἡγεῖσθαι τῶν πεπραγμένων, μηδὲ τὴν κατάστασιν ἔγκριτον τήν τε βίαν ἐπικαλοῦντες αὐτῷ μηδὲν ἧττον βιασθέντι, καὶ ῥημάτων λαμβανόμενοί τινων, ὡς εἰρημένων τηνικαῦτα προπετέστερον ἢ σοφώτερον· οὐ μὴν ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος

τῶν πραγμάτων ἐξεταστὴς, ἢ συναπήχθη τοῖς ταῦτα βουλευομένοις, ἢ τὴν γνώμην ἐπήνεσεν, ἀλλ' ἔμεινεν ἀκλινὴς καὶ ἀήττητος, οὐδέν γε ἧττον ἢ μηδὲ βιασθεὶς ὅλως· χρῆναι γὰρ κοινῆς οὔσης τῆς βίας, ἢ κατηγοροῦντας ἀντικατηγορεῖσθαι, ἢ ἀφιέντας ἀφίεσθαι, ἢ τό γε δικαιότερον μητ' ἀφιέντας ἀφίεσθαι· εἰ μὲν γὰρ αὐτοὺς εἶναι συγγνώμης ἀξίους, κἀκεῖνον πάντως· εἰ δὲ μηδαμῶς ἐκεῖνον, σχολῇ γ' ἂν αὐτοὺς· πολλῷ γὰρ βέλτιον εἶναι τότε κινδυνεύειν καὶ ἀντιτείνειν μέχρι παντὸς, ἢ ὕστερον ἐπιβουλεύειν, κἂν τούτῳ τῷ καιρῷ μάλιστα, ἡνίκα καὶ τὰς οὔσας ἔχθρας καταλύειν ἄμεινον ἦν ἢ τὰς οὐκ οὔσας περινοεῖν· εἶχε γὰρ οὕτως· παρῆν μὲν ὁ βασιλεὺς βρέμων Χριστιανοῖς, δι' ὀργῆς δὲ ἡ χειροτονία, ἠπειλεῖτο δὲ ὁ προβληθείς, ἐπὶ ξυροῦ δὲ ἡ πόλις ἢ μηκέτι εἶναι μετὰ τὴν ἡμέραν ἐκείνην, ἢ περισωθῆναι, καί τινος φιλανθρωπίας τυχεῖν· προσεγεγόνει γὰρ οἷς παρώξυντο περὶ τῆς Τύχης, ἐν καιρῷ τῆς εὐτυχίας περιχυθείσης καὶ ἡ περὶ τὸν ἄνδρα καινοτομία, ὡς τῶν δημοσίων σεσυλημένων· ἐζήτει δὲ ὁ τοῦ ἔθνους ἄρχων ὅ,τι χαρίσαιτο τῷ καιρῷ κἀκεῖνόν τι διαθείη κακὸν, οὐδὲ ἄλλως πρὸς αὐτὸν ἔχων ἐπιτηδείως, ἀλλ' ὡς ἐξ ἀντιπολιτείας διάφορος ὤν· ἐκάλει δὲ δι' ἐπιστολῶν τοὺς χειροτονήσαντας ὡς κατηγορήσοντας, οὐκέτι ἀπραγμόνως, ἀλλ' ἤδη τι καὶ ἀπειλῆς προστιθείς, ὡς τοῦτο ἀπαιτοῦντος τοῦ βασιλέως· τότε τοίνυν καὶ πρὸς αὐτὸν ἐλθούσης ἐπιστολῆς, οὐδὲν δείσας, οὐδὲ μικρὸν ἐπισχών, σκοπῶμεν τὴν παρρησίαν ὅση καὶ μεθ' ὅσου τοῦ πνεύματος, ἐκ τῶν ἀντεπεσταλμένων, ἡμεῖς φησὶν, ὦ κράτιστε ἡγεμὼν, πάντων τῶν πραττομένων ἔχομεν ἐξεταστὴν ἕνα καὶ βασιλέα, τὸν νῦν πολεμούμενον, ἐκεῖνος καὶ τὴν νῦν ἐξετάσει χειροτονίαν, ἣν ἔνθεσμον καὶ φίλην αὐτῷ πεποιήμεθα· ὑμῖν δὲ ἄλλο μέν τι διάζεσθαι βουλομένοις, καὶ πάνυ ῥᾴστον· τοῦτο δὲ οὐδεὶς ἡμᾶς ἀφαιρήσεται, τὸ συνηγορεῖν, ὡς ὀρθῶς καὶ δικαίως πεπραγμένοις, τοῖς πεπραγμένοις, εἰ μὴ καὶ τοῦτον θείητε τὸν νόμον, οἷς οὐ θεμιτὸν παρακύπτειν εἰς τὰ ἡμέτερα· τοῦτο τὸ γράμμα καὶ αὐτὸς ἐθαύμασεν ὁ δεξάμενος, εἰ καὶ πρὸς ὀλίγον ἐχαλέπηνεν, ὡς οἱ πολλοὶ τὰ ἐκείνου καλῶς γινωσκόντων ἀπήγγελλον· τοῦτο καὶ βασιλέως τὴν ὁρμὴν ἔστησε καὶ τοῦ κινδύνου

τὴν πόλιν ἀπήλλαξεν» (α)· ἐπαινεῖ δὲ ὁ Γρηγόριος τὸν ἑαυτοῦ πατέρα καὶ ὅτι ὅτε ὁ Ἰουλιανὸς πορευόμενος εἰς Καισάρειαν διὰ τῶν στρατιωτῶν πολλαχοῦ τῆς Καππαδοκίας τοὺς χριστιανικοὺς ναοὺς παρέδιδε τοῖς εἰδωλολάτραις ἢ κατέστρεφεν, ὁ ὑπέργηρως οὗτος, ἀλλὰ πλήρης ζήλου καὶ πίστεως ἐπίσκοπος τῆς Ναζιανζοῦ τοσοῦτον γενναίως ἀντέστη τοῖς ὑπ' αὐτοῦ σταλεῖσιν ἐκεῖ πρὸς τοῦτο στρατιώταις, ὥστε ἠναγκάσθησαν νὰ ἐπιστρέψωσιν ἄπρακτοι· «ἤνεγκεν ὁ καθ' ἡμᾶς καιρὸς πρῶτον κακόν, οἶμαι δὲ καὶ τελευταῖον τὸν ἀποστάτην καὶ τοῦ θεοῦ καὶ τῶν λογισμῶν βασιλέα, ὃς μικρὸν μὲν ἔργον ἡγησάμενος εἶναι Πέρσας χειρώσασθαι, μέγα δὲ τὸ χριστιανοῖς παραστήσασθαι, καὶ ἅμα τῶν ἀγόντων αὐτὸν δαιμόνων τοῦτο πειθόντων οὐδὲν εἶδος ἀσεβείας ἐνέλιπε, πείθων, ἀπειλῶν, σοφιζόμενος, ἔλκων πρὸς ἑαυτὸν οὐ μόνον οἷς ἐτεχνάζετο, ἀλλὰ καὶ οἷς ἐβιάζετο· οὐ μὲν λαθεῖν οἷός τε ἦν, κλέπτων τὸν διωγμὸν σοφιστικαῖς ἐπινοίαις. οὐδὲ μὴν καὶ φανερῶς τῇ δυναστείᾳ χρώμενος ἵν' ἑνί γε τῷ τρόπῳ πάντως ἁλῶμεν, ἢ κακουργηθέντες ἢ βιασθέντες· τοῦτον τίς μᾶλλον ἢ περιφρονήσας, ἢ καταλύσας εὑρίσκεται; τῆς μὲν οὖν περιφρονήσεως πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο σημεῖον, οἵ τε τοξόται, καὶ ὁ τούτων στρατηγός, οὓς ἐπῆγεν ἐκεῖνος τοῖς ἱεροῖς οἴκοις ἡμῶν, ὡς ἢ παραληψόμενος ἢ καταστρεψόμενος, ἐπειδὴ γὰρ πολλοῖς προσβαλὼν ἄλλοις, κἄνταῦθα ἦκε μετὰ τοῦ ἴσου ῥρονήματος, καὶ τὸ ἱερὸν ἐζήτει μετὰ τῶν πραγμάτων, τοσοῦτον ἀποσχέσθαι τοῦ τι καταπράξασθαι, ὧν ἐβούλετο, ὥστε εἰ μὴ θᾶττον ὑπεκλίθη τῷ ἐμῷ πατρὶ ἢ παρ' ἑαυτοῦ συνεὶς, ἢ τινος συμβουλεύσαντος ἀκούσας, κἂν τοὺς πόδας ξανθεὶς ἀπηλλάγη ζήσαντος ἐπ' αὐτὸν θυμῷ καὶ ζήλῳ περὶ τοῦ ναοῦ τοῦ ἱερέως.» (β)

§. 36. Ὁ δὲ Εὐσέβιος κατ' ἀρχὰς μὲν φιλικῶς προσεφέρετο Βασιλείῳ· ὀλίγῳ ὅμως ὕστερον δυσμενῶς διετέθη πρὸς αὐτὸν φθόνῳ βεβαίως τῆς φήμης καὶ τῆς λαμπρότητος τῆς διδασκαλίας καὶ τῶν ἀρετῶν αὐτοῦ, εἰ καὶ τὴν αἰτίαν τῆς διαφορᾶς ταύτης

(α) Γρηγ. Ναζ. λόγ. ι΄, σελ. 308—310. καὶ Λόγ. Κ΄, καὶ ἐπιστ, 30 καὶ 176

(β) Γρηγορ. Ναζ. Λόγ. ι΄, σελ. 307. παρὸλ, καὶ Σωκρ. βιβλ. Δ, 26.

σιγῇ παρέρχεται ὁ Γρηγόριος· ἀνθρώπινόν τι παθὼν, ἀνὴρ ἄλλως τε ἐπαινετὸς καὶ ὑπὲρ τῆς εὐσεβείας ἀγωνισάμενος ὡς ὁ τότε ἔδειξε διωγμὸς καὶ ἡ σταθερότης αὐτοῦ· καὶ ὁ μὲν Βασίλειος ἵνα μὴ αὐξήσῃ τὸ κατ' αὐτὸν τὴν ταραχὴν τῆς ἐκκλησίας ἀνεχώρησεν εἰς τὸν Πόντον ἵνα ζῇ φιλοσόφως ἐν τοῖς ἐκεῖ ἡσυχαστηρίοις, τοῦ δὲ δήμου τῶν Καισαρέων πολλοὶ ἐκ τῆς κατωτέρας τάξεως καὶ τῶν ἐν ἀξιώμασι καὶ μάλιστα οἱ μοναχοὶ οἱ σοφώτεροι δηλ τοῦ πλήθους καὶ περὶ τὰ τοιαῦτα ἐσπουδακότες ἤρξαντο νὰ ὑποβλέπωσι τὸν Εὐσέβιον καὶ χωρισθέντες τῆς κοινωνίας αὐτοῦ νὰ ἐκκλησιάζωνται κατ' ἰδίαν ὅτι φυγῆς ἐγένετο αἴτιος ἀνδρὶ τηλικούτῳ τὴν παιδείαν καὶ τὴν ἀρετὴν καὶ μάλιστα ἐν καιροῖς οὕτω χαλεποῖς τῆς ἐκκλησίας πολεμουμένης καὶ σφαλερῶς διακειμένης ὑπὸ τῆς τῶν τότε αἱρετικῶν δυναστείας (τῷ 364 ἔτει λήγοντι ἢ τῷ 365 ἀρχομένῳ.) Ἤδη δὲ οἱ περὶ τὸν Οὐάλεντα θερμοὶ τοῦ ἀρειανισμοῦ πρόμαχοι διηρέθιζον αὐτὸν ὅτι, τοῦ Βασιλείου ἀποδημοῦντος ἐν Πόντῳ, τοῦ δὲ Εὐσεβίου μισουμένου παρὰ τοῦ λαοῦ, ὁ καιρὸς εἶναι ἁρμόδιος νὰ εἰσαχθῇ ἡ κακοδοξία αὐτῶν εἰς Καππαδοκίαν, ἐκ Νικομηδείας ἔρχονται εἰς Καισάρειαν καὶ, ὡς εἰκός, ἐπιχειροῦσι νὰ ἐκβάλωσι τῶν ἐκκλησιῶν τοὺς ὀρθοδόξους, νὰ παραδίδωσι δὲ αὐτὰς τοῖς ὁμοφρονοῦσιν Ἀρειανοῖς· τότε δὲ προσκληθεὶς ὑπὸ τοῦ Εὐσεβίου ἐντίμως λίαν ὁ Βασίλειος, εἰς Καισάρειαν ἐπιστρέφει καὶ τούτῳ σπένδεται καὶ ἀποκρούσας τοῖς λόγοις τὸ πολὺ τῶν αἱρετικῶν ῥμῆνος τῇ ἐκκλησίᾳ ἐπαρύνει τὰ μέγιστα τῷ 365. Οὐάλης δὲ ἀποτυχὼν μετὰ τῶν περὶ αὐτὸν ἐπισκόπων ἀπῆλθον εἰς Ἀντιόχειαν ἄπρακτοι «καὶ κακοὶ κακῶς τότε πρῶτον αἰσχυνθέντες καὶ ἡττηθέντες καὶ μαθόντες μὴ ῥᾳδίως Καππαδοκῶν καταφρονεῖν, ἢ καὶ πάντων ἀνθρώπων, ὧν οὐδὲν οὕτως ἴδιον, ὡς τὸ τῆς πίστεως ἀρραγὲς καὶ πρὸς τὴν Τριάδα πιστὸν καὶ γνήσιον, παρ' οἷς καὶ τὸ ἡνῶσθαι καὶ τὸ ἰσχύειν αὐτοῖς, ἃ βοηθοῦσι βοηθουμένοις, μᾶλλον δὲ πολλῷ κρείττω καὶ ἰσχυρότερα. . . .» (α) εἴρηται δὲ ἀνωτέρω ὅτι ὁ Εὐσέβιος ἐχειροτόνησε τὸν Ἀρμενίας Νερσῆν·

(α) Γρηγ. Ναζ. Λόγ. Κ΄, σελ. 339.

προέστη δὲ τῆς ἐν Τυάνοις συνόδου ἐν ᾗ παρῆσαν σὺν ἄλλοις καὶ Ὀτρήϊος ὁ Μελιτινῆς καὶ Γρηγόριος ὁ πατὴρ τοῦ Ναζιανζηνοῦ θεολόγου (α)· τῷ δὲ 370 ἔτει ὁ Εὐσέβιος τὸν θνητὸν ἀπέλιπε βίον.

§. 37. Τελευτήσαντος δὲ τούτου ὁ Βασίλειος ἐπὶ τὸν ὑψηλὸν τῆς ἀρχιεπισκοπῆς Καισαρείας θρόνον ἀνάγεται οὐχὶ ἄνευ ἐρίδων καὶ βασκανίας καὶ πάλης τῶν προκρίτων καὶ ἄλλων πονηροτάτων πολιτῶν· συνετέλεσε δὲ πρὸς τοῦτο τὰ μάλιστα ὁ φίλος Γρηγόριος διὰ τοῦ πατρὸς αὐτοῦ Γρηγορίου τοῦ ἐπισκόπου Ναζιανζοῦ, οὐχ ἧττον δὲ καὶ ἡ ἐπιδημία ἀνδρῶν ἐπ' εὐσεβείᾳ γνωρίμων καὶ ζηλωτῶν, (καίτοι ἐναντιουμένου τοῦ Βασιλείου,) ἐν οἷς διέπρεπεν ὁ Σαμοσάτων Εὐσέβιος ὁ τασαῦτα καμὼν ὑπὲρ τῆς ὀρθοδοξίας ὁ στύλος καὶ ἑδραίωμα τῆς ἐκκλησίας, ὡς λέγει ὁ Γρηγόριος (β), καὶ τῆς πατρίδος τὸ ἔρεισμα· ἐγεννήθη δὲ ὁ Βασίλειος, ὁ μέγας οὗτος τῆς ἀληθείας διδάσκαλος, τὸ καύχημα τῆς ἐκκλησίας, ὁ ἔνθεος τῆς οἰκουμένης φωστὴρ τελευτῶντος τοῦ ἔτους 329 ἐν Καισαρείᾳ τῆς Καππαδοκίας, ἥτις ἦν μητρόπολις τῆς ἐπαρχίας, ἔχουσα ἐπὶ τοῦ Βασιλείου πάντας σχεδὸν τοὺς κατοίκους χριστιανούς. Ὁ πατὴρ αὐτοῦ, Βασίλειος ὡσαύτως ὀνομαζόμενος κατήγετο ἐκ τοῦ Πόντου, ἀπὸ οἰκογενείας ἐπιφανοῦς, υἱὸς τῆς Μακρίνης τῆς γεννηθείσης ἐν Νεοκαισαρείᾳ καὶ παιδευθείσης ὑπὸ τῶν μαθητῶν τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ. Αὐτὴ δὲ ἡ Μακρίνη καὶ ὁ ἀνὴρ αὐτῆς διὰ τὸν ἔνθερμον αὐτῶν ὑπὲρ τῆς πίστεως ζῆλον, ὑπέμειναν πολλὰ ἐπὶ τοῦ διωγμοῦ τοῦ Μαξιμίνου· ὁ δὲ παῖς αὐτῶν Βασίλειος, ἐπίσης εὐσεβέστατος καὶ πεπαιδευμένος, ἀνδρωθείς, ἐνυμφεύθη τὴν Ἐμμέλειαν, περίβλεπτον γενομένην διά τε θεοσέβειαν καὶ φιλοπτωχίαν. Ἡ Ἐμμέλεια κατ' ἀρχὰς ηὔχετο νὰ διατελέσῃ τὸν βίον ἐν παρθενίᾳ· ἀλλὰ στερηθεῖσα τῶν γονέων ἐν νεαρᾷ ἡλικίᾳ καὶ φοβουμένη μὴ ἁπαχθῇ ὑπό τινος διὰ τὸ ἐξαίσιον αὐτῆς κάλλος, ἀπεφάσισε νὰ συζευχθῇ εἰς γάμον μετὰ τοῦ Βασιλείου· ἐξ οὗ ἐ-

(α) Σωζ. βιβλ. ς', 12.
(α) Γρηγ. Ναζ. ἐπιστ. 29.

γέννησε δέκα τέκνα· τούτων τὴν ἡλικίαν πρεσβυτέρα ἦν ἡ Μακρίνη, ἥτις διεβίωσε παρθένος· ὁ Βασίλειος ἦτον ὁ πρεσβύτερος τῶν ἀρρένων, ὁ ἀδελφὸς αὐτοῦ Γρηγόριος ἐγένετο ἔπειτα ἐπίσκοπος Νύσσης καὶ Πέτρος ὁ νεώτατος πάντων τῶν ἀδελφῶν προεχειρίσθη ἐπίσκοπος Σεβαστείας· ὁ Βασίλειος ἀνετράφη παρὰ τῆς προμήτορος Μακρίνης, παρ' ἧς ἀπὸ παιδικῆς ἡλικίας ἐστηρίχθη εἰς τὴν διδασκαλίαν τῆς ἐκκλησίας κατὰ τὴν παράδοσιν τοῦ θαυματουργοῦ Γηγορίου. Μετὰ ταῦτα ἀπῆλθεν εἰς Καισάρειαν ἵνα σπουδάσῃ· ἐκεῖθεν δὲ μετέβη εἰς Κωνσταντινούπολιν, ὅπου ἠκροάσθη τοὺς ἐκεῖ διδάσκοντας περιβλέπτους τότε σοφιστὰς, ἐν οἷς καὶ τὸν Λιβάνιον, καὶ τελευταῖον ἦλθεν εἰς Ἀθήνας κατὰ φήμην τῶν ἐν αὐταῖς περιφήμων διδασκάλων τῆς φιλοσοφίας καὶ διαλεκτικῆς Ἱμερίου καὶ Προαιρεσίου, ἔνθα ἐδέχθη αὐτὸν ὁ ἅγιος Γρηγόριος ὁ Ναζιαζηνὸς, μεθ' οὗ συνῆψε δεσμὸν οἰκειοτάτης φιλίας, διαμείναντα ἄλυτον μέχρι τέλους τῆς ζωῆς αὐτῶν· ὁ Βασίλειος ὅμως δυσηρεστήθη εἰς τὴν ἐν Ἀθήναις διατριβὴν διὰ τὰ μὴ σοβαρὰ ἤθη τῶν ἐν αὐταῖς σπουδαζόντων καὶ ἤθελεν ἀναχωρήσει ἂν μὴ ἐκωλύετο ὑπὸ τοῦ Ναζιανζηνοῦ· διότι πρὸ ὥρας ἤδη ἐκόσμει τὸν Βασίλειον γεροντικὴ σπουδαιότης καὶ ἐμβρίθεια καὶ προσείλκυεν εἰς ἑαυτὸν μέγιστον σέβας μᾶλλον διὰ τῆς ἀρετῆς ἢ διὰ τῆς σοφίας εἰ καὶ διέλαμπε κατ' ἀμφότερα. Καίτοι εὐφυέστατος κατέβαλεν ὅμως ἄτρυτον ἐπιμέλειαν καὶ μελέτην καὶ οὕτως ἔφθασεν εἰς τὸν ὕψιστον τῆς ἀνθρωπίνης σοφίας βαθμόν· ἀπέκτησε δεινὴν καὶ ζωηρὰν εὐγλωττίαν· ἔμαθε τὴν γραμματικὴν τέχνην, λαλῶν ἄριστα τὴν Ἑλληνικὴν γλῶσσαν καὶ ἐννοῶν ἀκριβέστατα τοὺς συγγραφεῖς καὶ τοὺς ποιητάς· ἔμαθε πάντα τὰ μέρη τῆς φιλοσοφίας, τό τε θεωρητικὸν καὶ τὸ πρακτικόν· ἔμαθε τὴν λογικὴν οὕτως ὥστε προσφυέστατα μετεχειρίζετο τά τε ἐπιχειρήματα καὶ ἐνθυμήματα αὐτῆς· ἔμαθε τὴν ἀστρονομίαν, τὴν Γεωμετρίαν καὶ τὴν ἀριθμητικὴν ὅσον εἶχεν αὐτῶν χρείαν, ἐκ τῶν πολλῶν δὲ ἀσθενειῶν, εἰς ἃς πολλάκις ὑπέπιπτε, παρεκινήθη νὰ μάθῃ καὶ τὴν ἰατρικὴν καὶ οὕτω λοιπὸν ἐδιδάχθη πᾶσαν σχεδὸν τὴν θύραθεν παιδείαν, οὐδόλως παραμελήσας ἐν ταὐτῷ καὶ τὰ ἱερὰ γράμματα, ἅπερ παιδιό-

τὸ κρησφύγετον καὶ ἡ παραμυθία τοῦ πολυπαθοῦς χριστιανισμοῦ, ὅστις καταποντιζόμενος διὰ τῶν οἰάκων αὐτῆς τὰ ναυάγια διέφυγε, τραυματιζόμενος δι' αὐτῆς ἰᾶτο, κατασβεννύμενος δι' αὐτῆς πάλιν ἀνέλαμπε, συνταρασσόμενος καὶ δονούμενος ὑπὸ τῶν λαιλάπων τῶν ζοφερῶν χρόνων δι' αὐτῆς ἀκλόνητος καὶ ἀδιάσειστος διετέλεσεν· αὕτη ἡ ἀθάνατος καὶ ἁγία ἡμῶν ἐκκλησία αἰῶνας ὅλους μητρικῶς ἡμᾶς ἐπωάζουσα χθὲς καὶ σήμερον αἰθρίας γενομένης εἰς φῶς ἀνήγαγε (α). Τοιοῦτον ἄρα ἦν τὸ παρελθὸν μεγαλεῖον καὶ ἡ δόξα, τοσαῦτα δὲ τὰ παθήματα καὶ αἱ περιπέτειαι τῆς σεμνῆς ταύτης καὶ εὐκλεοῦς ἄνωθεν τῶν Καππαδοκῶν ἐκκλησίας. καὶ ὅσον μὲν τὸ παρελθὸν αὐτῆς ἔνδοξον καὶ λαμπρόν, τοσοῦτον ὅμως ἡ πρὸς ὀλίγων αὐτῆς κατάστασις, ἐν μέρει δὲ καὶ ἡ ἐνεστῶσα οἰκτρὰ καὶ ἀλγεινὴ παντὶ εὐαισθήτῳ Ἕλληνι καὶ ἄλλων μὲν ἴσως αἰτίων ἕνεκα, ἰδίως ὅμως ἕνεκα τῆς ἐπιπολαζούσης ἀμαθείας ἄχρι πρὸ μικροῦ τοῦ τε λαοῦ καὶ τοῦ κλήρου. ἐπεὶ δὴ δὲ ἤδη ἀπὸ τοῦ ἀοιδίμου Γερμανοῦ καὶ ἐντεῦθεν σχολεῖα ἀνεγείρονται πολλαχοῦ τῆς Καππαδοκίας, ὡς φοιτώρια τῆς Νεολαίας, τῆς χρυσῆς ἐλπίδος τῆς μελλούσης γενεᾶς, εὐελπιστοῦμεν ὅτι, θεοῦ θέλοντος, τάχ' αὔριον ἔσσετ' ἄμεινον· τί δ' εἴπωμεν περὶ τῆς ἐπ' ἐσχάτων καὶ εἰς Καππαδοκίαν παρεισρρησάσης καὶ λυμαινομένης ἡμᾶς μὲν ἥκιστα, τὴν δὲ τῶν ἀδελφῶν Ἀρμενίων ἐκκλησίαν οὐ μικρόν, ὀθνείας καὶ ὑπούλου διδασκαλίας τῶν Προπαγανδῶν τῆς Δύσεως διότι οἱ λειτουργοὶ ἢ ἐξαπόστολοι αὐτῶν ἀντὶ τοῦ διδάσκειν τὴν ἠθικὴν τοῦ εὐαγγελίου καὶ συνιστᾶν τὴν ἀνοχὴν καὶ ἀμοιβαίαν ἀγάπην μεταξὺ τῶν χριστιστιανῶν ἐθνικοτήτων, παραμορφοῦντες ἐμπαθῶς καὶ χλευάζοντες ἀναιδῶς καὶ ὑπούλως τὰ τῆς ἡμετέρας ἐκκλησίας, διελεάζοντές τε πολυτρόπως ὑποκλέπτουσί τινας τῶν ἁπλοϊκωτέρων καὶ ἀστηρίκτων τὴν εὐσέβειαν καὶ οὕτως ἀντὶ τῆς εἰρήνης καὶ φιλαδελφείας ἐνσπείρουσι τὸν σπόρον τῆς ἔχθρας καὶ τὸ μῖσος μεταξὺ τῶν χριστια

(α) παρβλ. Κλειοῦς ἀριθμ. 521. καί τις τῶν ἡμετέρων λογίων λέγει «διὰ τῶν αἰώνων προσταθειῶν τῆς θρησκείας ἀπεσείσαμεν τὸν μολύβδινον ὕπνον, ὑφ' ὃν διετελοῦμεν καὶ ἰδοὺ ἀνεγεννήθημεν εἰς τὸν πνευματικὸν καὶ ἠθικὸν βίον κτλ» (Νεολ. ἀρ. 859.)

νικῶν λαῶν· ἀλλ' εἴπερ ὑπὸ ἀληθοῦς ζήλου τοῦ Κυρίου ἐνεφοροῦντο ὄντως οἱ ἐξαπόστολοι οὗτοι εὐρὺ στάδιον ἐνεργείας θὰ εἶχον πρὸ αὐτῶν τὸ τῆς Ἀσίας καὶ Ἀφρικῆς πλεῖστον καὶ ἄλλα μέρη, ὅπου εἰσέτι «Χριστὸς οὐ καταγγέλλεται,» οὐχὶ δὲ τοὺς τῆς ὀρθοδόξου ἐκκλησίας εὐσεβεῖς υἱούς,, ὧν οἱ πατέρες παρὰ τῶν αὐτοπτῶν τοῦ λόγου δεξάμενοι καὶ καλλιεργήσαντες τὸ τοῦ Χριστοῦ εὐαγγέλιον μετέδοσαν τοῖς λοιποῖς ἔθνεσιν, ἐν οἷς καταριθμοῦνται καὶ αὐτά, ἀφ' ὧν σήμερον αὐτεπάγγελτοι διδάσκαλοι ἐμφανίζονται οἱ ἐξαπόστολοι οὗτοι, τὸ ἔργον τοῦ προσηλυτισμοῦ μετερχόμενοι ἐν τοῖς πιστοῖς, ἐπιλανθανόμενοι τοῦ ἀξιώματος τοῦ ἀποστόλου τῶν ἐθνῶν, ὅστις «ἐφιλοτιμεῖτο εὐαγγελίζεσθαι οὐχ ὅπου ὠνομάσθη Χριστός, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ, ἀλλά, καθὼς γέγραπται, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται. καὶ οἵ οὐκ ἀκηκόασι, συνήσουσι» Ρωμ. ιε', 20. λαμπρὰν ὅμως ἀντίθεσιν πρὸς τὸ προσηλυτιστικὸν πνεῦμα τῶν τοιούτων λειτουργῶν τοῦ χριστιανισμοῦ καὶ τὴν ὁρμὴν αὐτῶν ἵνα μεταπείθωσι πολλάκις πρὸς τὸ ἑαυτῶν δόγμα ἄλλους τοῦ εὐαγγελίου πιστοὺς παριστᾷ ἡ διαγωγὴ τῆς ἀνατολικῆς ὀρθοδόξου ἐκκλησίας, ἥτις ἐπιζητεῖ μόνον καὶ ποθεῖ τὴν ἐν Χριστῷ ἕνωσιν ἐκ τῆς ἀδελφικῆς μᾶλλον καὶ ἐν εἰρήνῃ προσεγγίσεως οὐχὶ δὲ ἐκ τῆς σαγηνεύσεως τῶν σηνειδήσεων δι' οἱωνδήποτε μέσων, ὡς τοῦτο παρ' ἄλλοις ἐπιδιώκεται· καὶ περὶ τούτων μὲν ἴσως ἤδη ἄλις· ὁ δὲ θεὸς τῆς εἰρήνης ὁ τὰ διεστῶτα συνάψας αὐτὸς κρατήσειε τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς καὶ ἐν τῇ βουλῇ αὐτοῦ ὁδηγήσειε καὶ παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην καὶ ποιήσειε μίαν ποίμνην ὑπὸ ἕνα ποιμένα, ἵνα πάντες ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας ἐν τῇ ἑνότητι τῆς πίστεως καὶ τῇ κοινωνίᾳ τοῦ Ἁγίου Πνεύματος δοξάσωμεν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς αὐτοῦ ὄνομα, νῦν μὲν ἐν τῇ στρατευομένῃ αὐτοῦ ἐκκλησίᾳ, ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι Ἀμήν.

ΠΡΟΣΘΗΚΑΙ ΤΙΝΕΣ

§ Α'. *Φίρμου ἐπισκόπου Καισαρείας ἐπιστολαὶ (α).*

Ἀχιλλεῖ α'.

Τὸ ἁπλοῦν τοῦ ἤθους καὶ ἀκατάσκευον καὶ ἡρωϊκῇ πρέπον φιλοτιμίᾳ ἰδόντες ἐν σοὶ πόρρωθεν οἱ καλῶς τὰς φύσεις διερευνώμενοι, ἔθεντό σοι τὴν τοῦ ἐκκρίτου τῶν ἡρώων προσηγορίαν, ὡς ἡ πεῖρα τοῖς γενομένοις προσμαρτυρεῖ· τότε γὰρ ὑπήκοον πρὸς εὐταξίαν ἐρρύθμισας, ἀπελήλαται δὲ τῶν ἐσχατιῶν ὁ φόβος κἂν (ἄνοδον) τίς εἴπῃ κἂν πέτραν ἠλίβατον ἢ ἀπόρρωγα, καὶ ταύτην ἐστὶν ὡς εἰρηνευομένην πόλιν παραδραμεῖν· Οὕτως ἡμῖν ἐκ τῶν κυμάτων ἐκείνων τῆς πονηρίας τὴν τοῦ Ταύρου πορείαν τραχυνομένην εὔδιον καὶ λείαν τοῖς παριοῦσι πεποίηκας· καὶ τούτων χάρις τοῖς ἐπὶ τῇ θαυμασιότητί σου ταῦτα πράττειν καταβαλλομένοις τὴν ψῆφον. Χρηστοὺς δείκνυς, τοιοῦτος ὢν, οἷς ἤδη συνών· Καὶ ἐν τῷδε ἐξητασμένην εἴδομεν γνώμης σεμνότητα· αὔξομέν τε διὰ πάντων τὸ θαῦμα, καὶ τοιούτους διαμένειν εὐχόμεθα, καὶ ἐπὶ τὸ πλεῖον προκόπτειν τοῖς κατορθώμασι, τῆς ἀγαθῆς ἐρῶντα δόξης καὶ τὴν τῷ Θεῷ φίλην εἰρήνην τοῖς ὑπηκόοις βραβεύοντα.

Κυθηρίῳ σοφιστῇ ϛ'.

Ἡ μὲν Πυθία τῷ Σωφρονίσκου προσέταττε μουσικὴν πονεῖν καὶ ταύτην ἐργάζεσθαι, ἐπιτείνουσα, τὴν περὶ τὸ λέγειν τῷ πρεσβύτῃ σπουδήν· ἐγὼ δὲ τὸν ἐκ παιδὸς τοῦτο μεμελετηκότα καὶ

(α) ἡ προσθήκη αὕτη ἀναφέρεται εἰς τὴν 53. §. τῆς ἐκκλησιαστικῆς ἱστορίας. — τὰς ἐπιστολὰς τοῦ Φίρμου καὶ τοῦ Ἰσιδώρου τὰς ἀναφερομένας ἐν ταῖς προσθήκαις ταύταις ὀφείλω τῇ φιλαγάθῳ προμηθεύσει τοῦ ἀειμνήστου Ἰεσαΐρχου Καισαρείας Εὐσταθίου Κλεοβούλου ὡς καὶ τὰ ἐκ τοῦ τόμου χαρᾶς.

τέχνην πεποιημένον θέλγειν τὰς ἀκοὰς μᾶλλον ἢ τὰς Σειρῆνας λόγῳ, ἐπειδὴ ἀθρόως εἶδον σιωπήσαντα πρὸς ἐμὲ ἐκπέπληγμαι τῷ γενομένῳ, μή τοι ἄρα ἐμπίδιον πρὸς τὸ γράφειν ἡ ἐμήσοι γέγονεν ἀμουσία· ἀλλὰ παρακαλῶ ὄντα σὲ καὶ λόγων καὶ πραγμάτων διδάσκαλον, μὴ πρὸς τὴν ἡμετέραν νωθείαν βλέπειν, μηδὲ ἐν ἥττοσιν ἀντιγράφοις ἀμειβόμεθα, τοῦτο σκοπεῖν ἀλλ' εἰδότα, ὡς ἀρκεῖ γράμματα τῆς σῆς λογιότητος καὶ λύπην κοιμίσαι, καὶ θεραπεῦσαι ψυχὴν καὶ ποιῆσαι σώματι τόνον, γράφοντα διατελεῖν, μνήμην καὶ λόγον ἡμῶν ἐκτὸς ἐπιστολῶν τοῖς τε καθ' ἡμᾶς καὶ τοῖς ἔπειτα παρεχόμενον.

Εὐστρατίῳ κόμητι γ'.

Εἴτι μικρόψυχον ὑπὸ τῆς ἀρρωστίας ἔπαθον, μεμψάμενός σου τὴν σιωπήν, οὐ πόρρω που συγγνώμης τὸ πρᾶγμα· συνασθενεῖν γάρ πως πεφύκασι καὶ οἱ λογισμοὶ τῇ τοῦ σώματος ἕξει· ἔπαθον δὲ τοῦτο πρὸς τοὺς οἰκείους ἐμοί. τοὺς γὰρ κεχρωσμένη φιλίᾳ συζῶντας οὐκ ἄν ἐμεμψάμην ποτὲ, ὡς μηδὲ τὴν ἀρχήν μοι εἰλικρινοῦς διαθέσεως πεῖραν παρασχομένους· ἀλλὰ τοῦτο μὲν αὐταρκῶς ἔχει, καὶ ἤρκεσεν εἰς θεραπείαν τῶν προλαβόντων· ἐμοὶ δὲ ἡ ἐπιθυμία τῷ τῆς ἀπολείψεως χρόνῳ, μᾶλλον ἐγκάθηται, καὶ πρὸς ὑμᾶς ὁρῶν πέπονθα οἷον ἄν τις διψῶν πάθοι αὐχμοῦ τινος τὴν ὄρεξιν ἀναφλέγοντος· παρακαλῶ δὲ καὶ μέμνησθέ τι γράφειν, ἱκανήν μοι τῆς ἀπολείψεως παραψυχὴν τῶν ἐπιστολῶν παρεχόμενον.

Κυνηγίῳ κόμητι δ'.

Τοὺς ποθοῦντας ἐν ἡμέρᾳ γηράσκειν παλαιὸς κατέχει λόγος· ἐμοὶ δὲ ἐδιπλασίασε τὸ γῆρας τῷ μήκει τοῦ χρόνου συνεπιλαβομένης ἐλπίδος τῆς ἡμετέρας πρὸς ἡμᾶς ἀφίξεως ταῖς ἐπαγγελίαις τιθεμένῳ· ἤξειν γάρ ποτε προσδοκῶ τὴν μεγαλοπρέπειάν σου, ὡς ἐπὶ μητέρα τὴν ἡμετέραν πόλιν. ἀπαιτοῦσαν δικαίως τῶν τροφείων τὴν ἀμοιβήν· εἰ δὲ καὶ ἡμῶν τις λόγος παρὰ σοί, μὴ δευτέρους ἀγάγῃς τῶν αὐτόθι φίλων· τῶν γὰρ ἄλλων πάντων πᾶσιν ἡττώμενοι, ἕτοιμοι πρὸς τοὺς ἐθέλοντας περὶ φιλίας διαγωνίζεσθαι καὶ μάλιστα ὅταν ἆθλον τῆς νίκης ᾖ τὸ τοῖς σοῖς ἐντρυφῆσαι καλοῖς. Παρακαλῶ οὖν, τὸν ὄκνον ἀποσεισάμενος ἐπάνελθέ μοι πρὸς τὴν τοῦ σώματος ἀκμήν, δείξας ἡμῖν σαυτὸν τοιοῦτον, οἷόν σε τηνικαῦτα ἐπὶ τὴν τῶν Φρυγῶν στελλόμενον παρεπέμπομεν· εἰ δὲ καὶ ἐλάττων ἡ δύναμις ὑπὸ τοῦ χρόνου γεγένηται, ἄκουσον τῆς μητέρος σου τῆς ἐκκλησίας ἐγγυωμένης αὖθίς σε τοιοῦτον καταστήσειν, εἰ πρὸς αὐτὴν ἐπανέλθοις καλούμενος· δώσεις δὲ ὁλοτελῆ τὴν χάριν, εἰ καὶ τὴν κοσμιωτάτην θυγατέρα ἡμῶν, καὶ τὰ γλυκύτατα παιδία μετὰ σοῦ ἄγων ἀφίκοιο πλείοσι χειρὶ τὴν ἔκτισιν τῶν ὀφθαλμάτων ποιούμενος.

Ἐπιστολὴ Ζ'.

Τὰς τῶν φαρμάκων χρήσεις οὐκ ἀεὶ νομίζω ταὐτὸν δύνασθαι, οὐδὲ ὁμοίως ἰᾶσθαι τὰ χρονιώτερα τῶν παθῶν κτλ.

Ἀρμενίῳ ἀρχιατρῷ Η'.

Ὁμήρῳ μὲν δοκεῖ τῷ σοφῷ πολλῶν ἀνταξίους εἶναι τοὺς ἰατρούς· ἐμοὶ δὲ τὴν αἰτίαν σκοποῦντι, δυοῖν ἕνεκα τοῦτο εἰρῆσθαι φαίνεται τὸ μὲν κατὰ τὴν ἐπιστήμην, ὅτι θεραπευταὶ σωμάτων ἐστὲ τὸ δὲ κατὰ τὴν φιλίαν, ὅτι καὶ ψυχῶν πολλάκις τὰ δέοντα συμβουλεύοντες τὰς λύπας παύετε παραινέσεσιν· ὧν ἑκατέρων ἴσθι χρῄζοντά με τὰ νῦν σπεύδειν πρὸς τὴν ἐπάνοδον· εἴθε θᾶττον ἀπαλλαγείημεν, τοῦ Σωτῆρος θεοῦ τὴν ἐντεῦθεν ἡμῶν οἰκονομήσαντος ἀναχώρησιν.

Ἐπιστολὴ Θ'.

..... καὶ διὰ μνήμης ἔχειν ἡμᾶς καὶ δεξιοῦσθαι γράμμασιν ὡς ἄν ἔχοιμεν ἀδόλου φιλίας ἐνέχειρα τὰς ἐπιστολάς.

Γεροντίῳ πρεσβυτέρῳ Ι'.

Συχνὸν ἤδη χρόνον ἀπολειφθεῖσαν τῆς πόλεως τὴν σὴν θεοσέβειαν ἔδει παρεῖναι τῇ πρώτῃ καὶ μυστικωτάτῃ τῶν ἑορτῶν· ἐπειδὴ δὲ ἀρρωστίας ἄρτι παυσαμένης ὑπολέλειπταί τις ἐνοχλοῦσα λεπτότης, ὡς ἔμαθον, ἀναλαβὼν σαυτὸν ἀφικέσθαι πρὸς ἡμᾶς σπούδασον, πληρῶν τῇ Ἐκκλησίᾳ τὸ ὄρλημα, ἵνα μὴ δεηθῇς καὶ δευτέρας φιλοτιμίας εἰς θεραπείαν τῆς ἀπολείψεως· τὰ δὲ ἀποσταλέντα ἐδεξάμεθα, καὶ τοῦ πλήθους καὶ τοῦ μεγέθους θαυμάζοντες, πέρδικας τέτταρας, ὅλην ξυνωρίδα πώλων, καὶ συὸς τῶν κατοικιδίων ἡμιτόμιον, ἱκανὸν καὶ ἀγρίων νικῆσαι μέγεθος, ὅσα χρὴ τῷ πράγματι πείθεσθαι, καὶ στάμνονοῖνου πολιοῦ· ἀλλὰ πόσα ταῦτα πρὸς ἀναγκαίαν φίλου συντυχίαν μετρούμενα.

Ἑλλαδίῳ ιϐ'.

Ἐκ χειμῶνος καὶ τρικυμίας γαλήνην εἶδον, καὶ ἡμέραν (τὸ τοῦ λόγου) λευκήν, ἀνασεσῶσθαι ἐκ τῆς κατὰ τὸν πλοῦν πλάνης τὴν μεγαλοπρέπειάν σου μεμαθηκώς, ὅθεν ἐπῄρθημεν ἐπὶ τὴν οἰκείαι ἡμῶν καταφεύγοντες προστασίαν, καὶ τῶν λυπούντων ἐλπίσας παραψυχήν, εἴ τινα λόγον σχεῖν ἡμῶντε καὶ πατρίδος λιμῷ καμούσης καταξιώσειας ὥστε ἐπικουρίσαι τὰ νῦν ἐνοχλοῦντα τῶν στρατιωτῶν ἀναλώματα, καὶ διοικήσασθαι μηδεμίαν στρατεύματος δὲ ἡμῶν γενέσθαι πάροδον· μόλις γὰρ, ἐκ τούτων ἐπιτύχοιμεν, ἀπὸ πολλῶν ὀλίγοι τὴν τοῦ λιμοῦ πανωλεθρίαν ἀποφυγόντες περιεσόμεθα.

Ἀνθίμῳ ἐπισκόπῳ ιγ'.

Ἐπὶ τὴν σαυτοῦ μητέρα τὸν σὸν ἀπέστειλας παῖδα, καὶ πρὸς ἡμᾶς τοὺς πάσῃ συνημμένους γνησιότητι, καὶ κατ' οἰκείωσιν τῇ θεοσεβείᾳ τῇ σῇ· καὶ τῶν σῶν γενέσθω προσευχῶν ἔργον, ὁμοῦ τῇ ἡλικίᾳ τῷ παιδὶ συναύξεσθαι καὶ τὴν παίδευσιν. Κέρδος γὰρ

ἡμετέρου τιθέμεθα τὰς τῶν νέων ἐπιτυχίας, ὅταν ᾖ παρ' αὐτοῖς καὶ δόξης καὶ φιλίας ἀπόνασθαι· τοῦτο δὲ ἐκ τῆς σῆς θεοσεβείας τεκμαιρόμενος λέγω οὐκ ἀπεικότως· τοὺς σοὺς κληρονόμους κληρονομήσειν προσδοκῶν, καὶ τῶν τῆς δόξης καλῶν.

Εὐαρδρίῳ ἐπισκόπῳ ιε'.

Ἀνάθημα μέν τις προσφέρων τῷ θεῷ τῶν δοκούντων πρὸς εὐσέβειαν βλέπειν ἐπίγραμμα προσέθηκεν τῷ ἀνατιθέντι εἰπών· σοὶ προσφέρω τὰ σά. . . .καὶ παρακληθεὶς ὑπάκουσον παρεῖναι τῇ ἐν Ἀργοκνοῖς τῶν ἁγίων μνήμῃ, ἣν αὐτὸς καὶ παρακεκλημένος τελέσεις καὶ ἀπαράκλητος.

Θαλασσίῳ ιϛ'.

Ἤγειρας τὴν σαυτοῦ πόλιν ἤδη πρὸς γόνυ καμοῦσαν, ἀποδοὺς αὐτῇ τῶν τροφείων τὰς ἀμοιβάς· καὶ χαίρει τοῖς οἰκείοις κοσμουμένη καλοῖς, ὅτι σὲ τοιοῦτον καλὸν ἀνεθρέψατο· λοιπὸν δὲ ἐπιφανεστέραν αὐτὴν τοῖς ἀξιώμασι γενομένην καὶ τῇ δυνάμει δὸς διὰ τῆς σῆς αὐξηθῆναι χειρὸς καὶ πληρῶν τὸν αὐτοῦ σκοπὸν καὶ ἡμῖν χαριζόμενος παρακαλοῦσι καὶ δεομένῃ τῇ πόλει καὶ τὸν ἄρχοντα, ὃν ἐπιφανέστερον ἡμῖν πεποίηκας τῇ σπουδῇ χαρίσαι τοῖς πράγμασιν, ὡς προσήκοντά σοι γνωρίζεσθαι· εἰ γὰρ τοῦτο προσθείης τοῖς προλαβοῦσιν ἅπαντα ἡμῖν κατὰ γνώμην ἐκβήσεται· δὸς δὲ καὶ πόλεων προσθήκῃ τὴν ἀρχὴν εὐθηνεῖσθαι, ἵνα σοι περίβλεπτος διὰ πάντων ἡ πατρὶς γένηται· ἡμῶν δὲ μέμνησο, φιλοῦντας φιλῶν· τοῦτο γὰρ ἐστιν ἀντίδοσις ἀγαθῶν.

Σωτηρίχῳ ιζ.

Περίβλεπτον ἡμῖν ἤδη τὴν πατρίδα πεποιήκατε ἐνπροοιμίοις τῆς προστασίας πολλοῖς ποσὶ παρασχόμενοι τὰς γειτνιώσας παραδραμεῖν· αἱ γὰρ πρότερον περὶ ὁμοτιμίας ἐρίζουσαι, νῦν οὐδὲ πολλοστοῦ μέρους τῆς ἀξίας δι' ἡμᾶς ἀφικνοῦνται οὕτως· ἐν

προοιμίας φαιδροτέραν ἡμῖν καὶ μεγάλην τὴν πόλιν ἐδείξατε· εἰ δὲ καὶ τὰ λείποντα προσθείητε ἢ πόλεων ἀριθμὸν, ἢ ἀνανέωσιν οἰκοδομημάτων (πάντα γὰρ ὑμῖν δυνατὰ βουλομένοις,) ταινίαις ὑμᾶς ἀναδοῦμεν ὡς εὐεργέτας, δευτέρους οἰκιστὰς ὀνομάζοντες, μᾶλλον δὲ καὶ πλέον ἐπάδοντες· ὅσον ἐκεῖνοι μὲν τὸ εἶναι τὴν πόλιν, ὑμεῖς δὲ τὸ ἐπιφανεστέραν γενέσθαι παρεσκευάσατε. Ποιήσατε δὲ ἡμῖν καὶ τὸν ἄρχοντα μείζονα μὴ τῷ ὀνόματι μόνον, ἀλλὰ καὶ τῇ δυνάμει.

Κολοσιανῷ ιη'.

Ἐνὶ συσθήματι ἀλλήλοις ἐπετάξατε τὴν πρὸς ἡμᾶς σιωπὴν, οὐκ εἰδότες ὅτι τοῖς οὕτως ἐφεστηκόσιν ἱκανὴ παραμυθία τὰ τῶν οἰκείων γίνεται γράμματα. Παρακαλῶ οὖν μεταβαλλόμενοι ταύτης τῆς κρίσεως μεμνῆσθαι, καὶ γράφειν καταξιοῦτε, πολλὴν ἡμῖν παρεξόμενοι ἐκ τῶν γραμμάτων παραψυχὴν· ὡς δ' ἂν μὴ ἀγνοῆτε τὰ καθ' ἡμᾶς, γνωρίζομεν ὅτι τῆς ἀρρωστίας ἐνδούσης ἐχόμεθα τῆς ὁδοῦ.

Ἀκακίῳ ἐπισκόπῳ ιθ'.

Αὐτῇ τῇ θεοσεβείᾳ σου προσδοκήσας ἐνταύξασθαι, ἐπειδὴ πρόδρομον ἔλαβον τῆς ἀφίξεως τὴν ἐπιστολὴν, ἐζήτουν τὴν αἰτίαν γνῶναι τί τοῦτο γενέσθαι παρασκεύασεν· τῆς δὲ ἐπιστολῆς εἰπούσης, κατενεχθέντος τοῦ ὑποζυγίου, πεπονηκέναι σε, ἐθαύμασα, ὅτι ἢ μὴ ἐπὶ λευκοῦ ζεύγους ὀχῇ, ἢ ἐπὶ ἁρμάτων χαλκοκολλήτων, ἵνα μετρίως εἴπω· ἀλλὰ προσπάσχεις τοῖς σοῖς πηγάσσοις οὐπτερωτοὺς ἔχων, ἀλλὰ δεομένους κέντρων εἰς μετάβασιν· εἰ οὖν ἱππεύεσθαί σοι σκοπὸς, καὶ συμβουλεύοντι πείθοιο, ἄλλον ἀλλαχόθεν σαυτῷ κτησάμενος ἵππον ἀσφαλῶς, καὶ θᾶττον φέροντα ἀφικέσθαι πρὸς ἡμᾶς κατάδεξαι, μὴ ἐνδοὺς τῷ μακρῷ τῆς ἀπολείψεως χρόνῳ τὴν μνήμην καταμαραίνεσθαι· ὁ δὲ σιωπηθεὶς ἰχθὺς, ἥκιον δὲ ἀνεπάγγελτος, τοσοῦτος ἦν, ὡς μεγέθει τοὺς θαλαττίους παραδραμεῖν, καὶ πάσῃ τοῖς ἐν τῇ πόλει γενέσθαι περίβλεπτος, δῶρον τῆς σῆς εἰς ἡμᾶς φιλοτιμίας ἄξιον.

Λαύσῳ κ'.

Τοῖς συντυχίας ἐρῶσιν ἱκανὴ καὶ ἡδεῖα τῶν γραμμάτων γίνεται ὁμιλία, ὅταν πολλῷ τῷ μέσῳ διαστήματι τύχωσι χωριζόμενοι· ὃ δὴ καὶ ἐμοὶ ἐπὶ τῆς ὑμετέρας συμβέβηκε μεγαλοπρεπείας· ἐφίεμενος γὰρ τῆς συνουσίας τῆς ὑμετέρας ἐπέθηκα τὴν ἐπιστολὴν ἐπινοῶν ἐντεῦθεν ἐμαυτῷ τῆς ἐπιθυμίας παραψυχήν· Εἰ οὖν καὶ παρὰ τῇ θαυμασιότητι ἡμῶν τοιοῦτος περὶ ἡμῶν ὁλόγος, διατελεῖτε, καὶ μεμνημένοι καὶ γράφοντες, ἐπειδὴ τούτοις αὔξεσθαι φιλία πέφυκεν.

Χίλωνι ἐπισκόπῳ κδ'.

Ἀτεχνῶς ἡμῖν ἔαρ διὰ τῆς ἐπιστολῆς (τὸ τοῦ λόγου) πεποίηκας, εἰς ἀνκρυμῶν καὶ φρίκης οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν καρδίαν οὕτω πεπιλημένην ὑπὸ τῆς τῶν ἀπαγγελθέντων λύπης, ὡς περὶ πάντων ἤδη τῶν ἀγαθῶν κινδυνεύουσαν· ἀλλ' ἐπειδὴ ὁ τὴν ἑαυτοῦ φιλανθρωπίαν ταῖς ἑκάστου χρείαις ἐπιμετρῶν ἔδωκεν ἀνασφαλῆναι τῆς ἀρρωστίας πάλιν καὶ ἐπιθεῖναι γράμματα πρέποντα, ἀγαθῆς ἐλπίδος πεπλήρωμαι, ὡς πάντων μοι καταρρεόντων πραγμάτων προκεισομένων, ἐπειδὴ τούτων ἐπέτυχον.

Εἰανδρίῳ ἐπισκόπῳ λδ'.

Ἐδιπλασίασας ἡμῖν τὸν τῆς ἑορτῆς χρόνον, ἀνανεωσάμενος αὐτὴν τοῖς τῆς φιλίας συμβόλοις· καὶ λευκὴν ἀτεχνῶς ἠγάγομεν ἡμέραν τῶν τῆς θεοσεβείας σου γραμμάτων ἐπιτυχόντες. Γράφε τοίνυν καὶ μέμνησο παρακαλῶ, ἵνα μὴ λήθης ἡμῖν ὁ τῆς σιωπῆς χρόνος γένηται πρόφασις· τῆς δὲ σῆς φίλης εἰρήνης ἔχειν ἡμῖν διδοὺς συνθήματα τὰς ἐπιστολάς.

Ἀκακίῳ ἐπισκόπῳ λε'.

Ἱκανὸν ἥδυσμα γράμμασι μετ' εὐλογίας ἰχθὺς, θᾶττον ἢ λό-

γος πρὸς ἡμᾶς ἀφικόμενος καὶ τὴν τῆς θεοσεβείας σου περὶ ἡμᾶς τῷ τάχει τῆς ἀρίζεως μηνύσας σχέσιν· καὶ γὰρ καὶ τὴν τοῦ ἀέρος διέφυγε βλάβην, καὶ ὡς ἐντεῦθεν ἐκ τοῦ γείτονος ἀνανηξάμενος ποταμοῦ ἐπιτήδειον ὄψον πρὸς πανδαισίαν γεγένηται· καὶ πλήρης ἡ τράπεζα τοῦ δεξιοῦ θύματος πρὸς πολλὰ ταῖς καρυκείαις ἁρμόσασα, ὡς μικρὰν εἶναι τὴν Ἀλκινόου τρυφὴν, πρὸς τὴν σὴν ἐξεταζομένην φιλοτιμίαν, τῶν ἡμετέρων περιττευμάτων διαδοθέντων τοῖς δεομένοις.

Κυρίλλῳ ἐπισκόπῳ λζ'.

Τὰ μὲν ὅσα περὶ τῆς τῶν γραμμάτων ἐστὶ διηγήσεως οἶδα κοινοῖς τε γράμμασι, καὶ τῶν παρ' ἑκάστου τὴν ἁγιοτητά σου δεδιδαγμένην· ἐγὼ δὲ γράψαι ἐπείχθην ἃ πέπονθα· ἔοικα γὰρ τὴν Στησιχόρου παλινῳδείαν ἄδειν, ἐκεῖνα ποθῶν, ὧν πρότερον μακρὰν ἐποιοῦμεν κατηγορίαν· τὴν γὰρ ἐν Ἐφέσῳ διαγωγὴν δυσχεραίνων, καὶ ἀσμένως ταύτης ἀπαλλαγεὶς, νῦν ἐρᾷν αὐτῆς πόθῳ τῆς σῆς ὁσιότητος ἠνάγκασμαι, οὕτω πρὸς τὴν ἐπιθυμίαν ἐκκαίομαι· ἀλλ' εἴτις καὶ σοι λόγος ἡμῶν, θεοφιλέστατε, γράφε καὶ μέμνησο ἃ τοῖς φίλοις ἐπινενόηται· τὰ δὲ πράγματα συντόμως εἰπεῖν, πρὸς οὐδὲν τῆς ἐλπίδος ἐφ' ἑκάτερα στρεφομένης.

Εὐστρατίῳ λθ'.

Εἰ ἀγνῶτα τῇ θαυμασιότητί σου συνιστάναι ἔμελλον, ἔδει μοι προοιμίων καὶ τῆς περὶ αὐτοῦ διηγήσεως, τίς, καὶ πόθεν, καὶ ποδαπὸς, καὶ ὅσον τῷ ψάλλειν τῶν τε νῦν καὶ προτέρων κεκράτηκεν. Ἡσθέντα δὲ σὲ πολλάκις δι' αὐτοῦ τοῖς θείοις ᾄσμασι μετὰ σώφρονος ἡδονῆς ἐξευμαρίσαι αὐτῷ παρακαλῶ τὰ προκείμενα καὶ δι' ἑαυτοῦ, καὶ διὰ τοῦ μεγαλοπρεπεστάτου Κόμητος ἀφεθῆναι αὐτὸν τῆς ἐκ διαβολῆς παρά τινων γενομένης συκοφαντίας.

Ἰναχίῳ μγ'.

. . Ἤνεγκεν καὶ καθ' ἡμᾶς χρόνος Ἑλένην Λάκαιναν πολέμων ὑ-

πόθεσιν ἧς τοῦ κάλλους ἐν ἀπολαύσει γεγονὼς βραχεῖα εἰς τὰς σὰς πολλάκις ἀναπέμπειν ὥρμησα χεῖρας οἷα δὴ Τρῶες ἐβουλεύσαντο περὶ τῆς ὁμωνύμου. . .(α)

Ἀπάντησις τῇ ἀνωτέρᾳ μδ'.

. . . Οἷα τε θεῖν ἐπ' ἄκρων ἀνθερίκων. . . μηδὲ πτῶκας εἶναι νομίζεσθαι· καὶ ταῦτα μὲν ταῦτα· τῶν δὲ οἴνων ἑκάτερος τῶν Διὸς κήπων ἀπορρὼξ ἔστι τις νέκταρος, Ὁμήρου δεόμενος ἐπαινέτου. ἡδὺν λέγοντος καὶ ἀκηράσιον, καὶ θεῖον ποτὸν, καὶ οἷον ἐκεῖνος ἐποίησε παρὰ πλεῖον ἐν Ὀδυσσείᾳ αὐτὸν Μάρωνος.

Σημ. Φαίνεται ἐκ τῆς ἀπαντήσεως ταύτης ὅτι ὁ Φίρμος εἶχε πέμψει καὶ ἱέρακα μετὰ τοῦ θηρευτικοῦ κυνός· ἐπίσης εἶχε στείλει καὶ οἶνον ἐξαίρετον, δύο εἰδῶν· τοῦτο δὲ μόνον τὸ χωρίον ἠδύνατο νὰ δείξῃ ὅτι ἐν Καππαδοκίᾳ, ὡς καὶ νῦν εἰσέτι, εὑρίσκοντο οἶνοι ἐξαίρετοι· ἀλλὰ καὶ ἐν τῇ δεκάτῃ ἐπιστολῇ εἴδομεν «καὶ στάμνον οἴνου παλαιοῦ·» μὴ ἀρκούμενοι δὲ οἱ τῶν Καππαδοκῶν πλουσιώτατοι τῷ ἐγχωρίῳ οἴνῳ ἐχρῶντο καὶ ξένοις οἴνοις τοῖς ἀρίστοις (Γρηγ. Ναζ. λόγ. ιϛ'. σελ. 250.)

§. Β'. Προκόπιος Καισαρείας (β).

Βασιλείῳ δὲ τῷ αὐτοκράτορι ὑπογράψαντι καὶ ἐπικυρώσαντι τὰς ἀποφάσεις τῆς συνόδου «Προκόπιος ὀθεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἡ πάντων συνεκτικὴ θεοῦ σοφία καὶ δύναμις, ἡ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τὴν τῶν ἀνθρώπων φύσιν θεμένη σοφώτατα, αὕτη προϊδοῦσα τὸ καθαρὸν καὶ ἀδόλωτον τῆς διανοίας τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου, ἀνιδρύσατο καὶ ἀνήγαγεν εἰς τὸν περίβλεπτον καὶ ὑψηλότατον θρόνον τῆς βασιλείας, χαρισάμενος ἡμῖν τὸν δεσπότην ἡμῶν τὸν ἅγιον

(α) Δὰ μακρῶν ἐγκωμιάζει ἐνταῦθα κύνα λάκαιναν (λαγωνικὸν) Ἑλένην καλουμένην ἣν πέμπει δῶρον τῷ Ἰναχίῳ· Δῆλον δὲ ὅτι ἐν Καππαδοκίᾳ γίνονται τοιοῦτοι κύνες ἄριστοι.

(β) ἡ προσθήκη αὕτη ἀναφέρεται εἰς τὴν 67 §. τῆς ἐκκλησιαστικῆς ἱστορίας.

τὸν κὺρ Φώτιον πατριάρχην καὶ δι' αὐτοῦ ἑνώσας τὰ διεστῶτα μέρη τῆς Ἐκκλησίας εἰς μίαν ποίμνην τοῦ ἀρχιποίμενος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἐκκόψας καὶ τοὺς ἀτιθάσους λύκους ἐκ τῆς λογικῆς τοῦ Χριστοῦ μάνδρας, τοὺς ἐν τῷ κωδίῳ τὴν ἑαυτῶν κακίαν περικαλύπτοντας καὶ τὴν εἰρήνην καὶ ὁμόνοιαν μὴ ἀσπαζομένους. ὅθεν καὶ ἡμεῖς οἱ ἀνάξιοι δοῦλοι αὐτοῦ ἐπευχόμεθα τῆς βασιλείας αὐτοῦ τῆς ἁγίας, ὅπως χαρίσηται ἡμῖν αὐτὸν Κύριος ὁ Θεὸς εἰς ἔτι πολλὰ καὶ καλὰ· ὑποτάξαι Κύριος πάντα τὰ ἔθνη καὶ τοὺς πολεμίους ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ μέτοχον ἀναδείξοι τῶν αἰωνίων ἀγαθῶν... (Τόμ. χαρᾶς σελ. 102.)

§. Γ'. **Περὶ Ἰουλιανοῦ τοῦ παραβάτου** (α).

Κατ' ἐκεῖνον τὸν καιρὸν Ἰουλιανὸς ὁ ἔχθιστος βασιλεὺς ὁρμίσας κατὰ Περσῶν, ἦλθεν ἐν τοῖς μέρεσι τῆς Καισαρέων πόλεως· ὁ δὲ Βασίλειος ἅμα τοῖς συνοῦσιν αὐτῷ, ὑπήντησεν αὐτῷ καὶ ἰδὼν αὐτὸν ὁ βασιλεὺς εἶπε· κατεφιλοσόφησά σου Βασίλειε ὁ δὲ ἀπεκρίθη αὐτῷ· εἴθε ἐφιλοσόφησας. ὁ δὲ ἅγιος προσήγαγεν αὐτῷ τρεῖς ἄρτους ἐξ ὧν ἐπερέρετο διαψιλείας· ὁ δὲ ὑβριοπαθήσας ἐπὶ τῇ σμικρότητι τῶν δώρων, ἐπέστρεψε μὲν τοῖς δορυφόροις αὐτοῦ λαβεῖν μὲν τοὺς ἄρτους, ἀντιδοῦναι δὲ αὐτῷ, χόρτον· ὁ δὲ δεξάμενος ἔφη αὐτῷ· ἡμεῖς μὲν ὦ βασιλεῦ, ἐξ ὧν ἐσθίομεν ἐκομίσαμέν σοι· αὐτὸς δὲ ἐξ ὧν τρέφεις τὴν ἀλογίαν ἀντέδωκας ἡμῖν ἑκουσίως μὲν ἐπιγελῶν, ἀκουσίως δὲ ἡμᾶς, ἐν νομῇ ποιῶν τοῦδε τοῦ χορτοκοπείου· ὁ δὲ Ἰουλιανὸς ταῦτα ἀκούσας, καὶ ἐμμανὴς γενόμενος οἷα δὴ βασιλεύς, χάριν ἰδίαν μὴ δυνάμενος ἀναστρέψαι, ἔφη πρὸς αὐτόν· ἡ μὲν νομὴ τοῦ χορτοκοπείου ἐκ τῆς ἐμῆς βασιλείας δεδώρηταί σοι· ὅταν δὲ Πέρσας ὑποτάξας ἀνταναλύσω, ἐδαφιῶ τὴν πόλιν σου καὶ ἀροτριῶ αὐτὴν, ἵνα γένηται σιτοφόρος μᾶλλον ἢ ἀνθρωποφόρος. οὐ γὰρ ἠγνόησα τὴν αὐθάδειαν τοῦ ὑπὸ σοῦ ἀπατωμένου λαοῦ· ὅπως τὴν παρ' ἐμοῦ προσκυνουμένην θεὰν μετὰ τὸ σπεῖσαί με αὐτῇ, μὴ φέροντες τὴν βασκανίαν, ἐλέπτυναν

(α) ἡ προσθήκη αὕτη ἀνάγεται εἰς τὴν 45 §. τῆς ἐκκλησιαστικῆς ἱστορίας.

εἰς τέλος· καὶ ταῦτα εἰπὼν ᾤχετο ἐπὶ τὴν τῶν Περσῶν χώραν· εἰσελθὼν δὲ ἐπὶ τὴν πόλιν ὁ Βασίλειος καὶ προσκαλεσάμενος ἅπαν τὸ πλῆθος τοῦ λαοῦ, ἐπήγγειλε τὰ τοῦ βασιλέως ῥήματα· σύμβουλός τε αὐτῷ ἀγαθὸς γίνεται εἰρηκὼς· τὰ χρήματα, ἀδελφοὶ, εἰς οὐδὲν λογισάμενοι, τῆς σωτηρίας ἡμῶν πρόνοιαν ποιήσατε ἵνα εἰ καὶ δοθῇ καιρὸς τῷ τυράννῳ βασιλεῖ, δῶρις αὐτὸν ἐκμειλίξωμεν· οἱ δὲ ἀπελθόντες εἰς τοὺς οἴκους αὐτῶν. ἃ εἶχον ἕκαστος αὐτῶν εἰς τοὺς οἴκους ἐν χερσὶν ἤγαγον πρὸς αὐτὸν, ἔντε χρυσῷ καὶ ἀργύρῳ καὶ λίθων πολυτελῶν ἄπειρον πλῆθος· ὁ δὲ ἰδὼν τὴν προθυμίαν καὶ εὐπείθειαν αὐτῶν, ἀπέθετο αὐτὰ ἐν τῷ σκευοφυλακίῳ ἐπιγράψας ἑκάστου τὰ ὀνόματα, εἰρηκὼς αὐτοῖς· ὅτι ὁ τῶν προθέσεων κύριος ἰσχύει κἀκεῖνον διαχειρίσασθαι καὶ ἡμῶν ἀποκαταστῆσαι τὴν οἰκείαν ὑπόστασιν· πάραυτα οὖν προστάττει τῷ κλήρῳ καὶ παντὶ τῷ λαῷ τῆς πόλεως σου γυναιξὶ καὶ παιδίοις, ἀνελθεῖν ἐν τῷ ὄρει τοῦ Διδύμου ἔνθα τιμᾶται καὶ προσκυνεῖται τῆς Θεοτόκου πάνσεπτος ναὸς, καὶ τρεῖς ἡμέρας νήστεις τῇ προσευχῇ προσκαρτερῆσαι καὶ αἰτεῖν τὸν θεὸν διασκεδάσαι τὸν τοῦ παρανόμου βασιλέως σκοπὸν· καὶ δὴ δεομένων αὐτῶν καὶ διαγρυπνούντων μετὰ συντετριμμένης καρδίας ὁρᾷ Βασίλειος κατ' ὄναρ πλῆθος στρατιᾶς οὐρανίου, ἔνθα ἐν τῷ ὄρει καὶ ἐν μέσῳ αὐτῶν ἐπὶ θρόνου ἐνδόξου καθημένην τινὰ ἐν γυναικείῳ τῷ σχήματι καὶ οὕτω πως εἰπεῖν πρὸς τοὺς πλησίον αὐτῆς ἑστῶτας μεγαλειαίους ἄνδρας· καλέσατε δή μοι Μερκούριον καὶ πορεύσεται τοῦ ἀνελεῖν Ἰουλιανὸν τὸν εἰς τὸν υἱόν μου καὶ κύριον Ἰησοῦν Χριστὸν παρανομήσαντα· ὁ δὲ ἅγιος μετὰ τῆς πανοπλίας αὐτοῦ παραγενόμενος καὶ ἐπιτραπεὶς παρ' αὐτῆς τάχιστα ἐπορεύθη· προσκαλεσαμένη δὲ τὸν Βασίλειον ἀπέδωκεν αὐτῷ βιβλίον ἔχον ἐν ἱστορίᾳ πᾶσαν τὴν κτίσιν· εἶτα τὸν ἄνθρωπον πλαττόμενον ὑπὸ τοῦ Θεοῦ· καὶ ἐν ἀρχῇ τοῦ βιβλίου γραφὴ ἦν· εἰπὲ· ἐνδὲ τῷ τέλει αὐτοῦ ἔνθα ἐπλάττετο ὁ ἄνθρωπος, ρεῖσαι· δεξάμενος δὲ τὸ βιβλίον, προνοίᾳ αὐτῆς ἀνέγνω, μέχρι τῆς ὑπογραφῆς, τοῦ ρεῖσαι· καὶ εὐθέως ἔξυπνος ἐγένετο, ὑπὸ τοῦ φόβου καὶ χαρᾶς συνεχόμενος· τὸ ἰσοδύναμον δὲ ὄναρ ἐθεώρει τῇ αὐτῇ νυκτὶ καὶ Λιβάνιος ὁ σοφιστὴς συνὼν τῷ Ἰουλιανῷ ἐν Περσίδι καὶ τὴν τοῦ

Κοιάστωρος ἀξίαν διακοσμῶν· ἐκπλαγεὶς οὖν τῇ ὀπτασίᾳ ὁ Βασίλειος τόν τε Εὔβουλον μόνον διϋπνίσας κάτεισι σὺν αὐτῷ ἐν τῇ πόλει, καὶ παραγίνεται ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου μάρτυρος Μερκουρίου, ἔνθα καὶ αὐτὸς κατέκειτο καὶ τὰ ὅπλα αὐτοῦ· ἅπερ ζητήσας οὐχ εὗρε. προσκαλεσάμενος δὲ τὸν φύλακα, ἐπυνθάνετο ὅπου ἦν ταῦτα· ὃς μεθ' ὅρκων ἔλεγεν ἐσπέρας ἐκεῖσε ταῦτα εἶναι, ὅπου διηνεκῶς αὐτὰ ἐφυλάττοντο· πιστεύσας οὖν ἀδιστάκτῳ γνώμῃ ὁ Βασίλειος ὅτι ἀληθὴς ἐστιν ἡ ὀπτασία καὶ δοξάσας τὸν Θεὸν τὸν μὴ παρορῶντα τοὺς πεποιθότας ἐπ' αὐτόν, ἐν σπουδῇ πολλῇ καὶ χαρᾷ ἀνεκλαλήτῳ ἀνέδραμεν ἐν τῷ ὄρει, ἔτι πάντων ὑπνούντων· οὓς διαναστήσας καὶ εἰς εὐχὴν προτρεψάμενος, ἐν φωνῇ ἀγαλλιάσεως εὐηγγελίσατο αὐτοῖς τὴν Θεόθεν αὐτῷ γενομένην ἀποκάλυψιν· καὶ ὅτι τῇ νυκτὶ ταύτῃ ἀνῃρέθη ὁ τύραννος καὶ ἅμα πᾶσιν εὐχαριστήσας τῷ Θεῷ, ὑπέστρεψεν ἐν τῇ πόλει προστάξας πᾶσιν εὑρεθῆναι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ μετασχεῖν τῆς θείας λειτουργίας. . . . Τοῦ δὲ λαοῦ πάνδημον ἑορτὴν ἄγοντος ἐπὶ τέλει τῶν ἑπτὰ ἡμερῶν καὶ πάντων ἐν τῇ ἐκκλησίᾳ συνηγμένων, ἰδοὺ Λιβάνιος ὁ τοῦ Ἰουλιανοῦ Κοιάστωρ φυγῇ χρησάμενος εἰσῆλθεν ἐν τῇ πόλει καὶ μαθὼν τὸ τοῦ λαοῦ ἄθροισμα ἐν τῇ ἐκκλησίᾳ ἐκεῖσε παρεγένετο, ἐπαγγέλλων τὸν ἐχθίστου Ἰουλιανοῦ τοῦ τυράννου θάνατον καὶ προσπεσὼν τοῖς γόνασι τοῦ ἀρχιερέως ἠξίου δέξασθαι τὴν ἐν Χριστῷ σφραγῖδα καὶ ταύτης τυχὼν ὁμόστεγος γέγονε Βασιλείου ἅμα Εὐβούλῳ καὶ τῇ ἑξῆς προσέταξε πᾶσιν ἀπολαβεῖν τὰ οἰκεῖα χρήματα· οἱ δὲ μιᾷ φωνῇ εἶπον πρὸς αὐτὸν· ἐν θνητῷ βασιλεῖ ταῦτα παρασχεῖν ἐβουλήθημεν, ἐπὶ τῷ μὴ πορθῆσαι ἡμῖν τὴν πόλιν, πολλῷ μᾶλλον χρὴ τῷ ἀθανάτῳ βασιλεῖ προσενεχθῆναι αὐτά, τῷ ἐκ τηλικούτου θανάτου λυτρωσαμένῳ ἡμᾶς· καὶ ἰδοὺ ἐν χερσὶν εἰσὶ πάντα· ὡς ὁ κύριος ὑπαγορεύσει σοι, πράττε· ὁ δὲ θαυμάσας τοῦ πιστοτάτου λαοῦ τὸ μεγαλόψυχον, τρίτην μοίραν παρείχετο αὐτοῖς καὶ ἐκ τῶν ὑπολοίπων ἡμφίεσεν ἅπαν τὸ ἱερατεῖον μετὰ τοῦ κιβωρίου. τὸ δὲ θυσιαστήριον χρυσῷ καθαρῷ καὶ λίθοις τιμίοις κατακοσμήσας καὶ προσκαλεσάμενος τὰ πλήθη τῶν οἰκητόρων καὶ ἁγιάσας τὴν ἱερὰ τράπεζαν τρεῖς ἡμέρας ἐκέλευσεν ἑορτάζειν· τούτων δὲ οὕτως

ἐπιτελουμένων, τινὲς ἔτι ἐν τῇ πλάνῃ τῶν Ἑλλήνων ὄντες προσῆλθον αὐτῷ λέγοντες ἰδοὺ δι' εὐχῶν σου τὴν πόλιν ἡμῶν αἰχμαλωτίζεσθαι μέλλουσαν, ἐλυτρώσω καὶ τὸν ναὸν τοῦ Θεοῦ σου ὑπερφυῶς κατεκόσμησας· λείπεται δὲ καὶ ἡμᾶς αὐτοὺς πληροφορηθῆναι τὰ τῆς δυνάμεως τοῦ Θεοῦ· ὁ δὲ διὰ βραχέων ῥημάτων ὑποδείξας αὐτοῖς τὴν ὁδὸν τῆς σωτηρίας, πείσας καὶ κατυχήσας ἐβάπτισεν. . . . (Ἀμφιλοχ. ἐν βίῳ τοῦ μεγ. Βασιλ. κεφ. θ'. σ. 179 185.») Ἀλλ' εἴδομεν, ἐν τῇ 45. §. τῆς ἱστορίας ἡμῶν ὅτι ταῦτα ψευδεπιγράφως ἀποδίδονται τῷ ἱερῷ Ἀμφιλοχίῳ.

Τὸ δὲ σῶμα τοῦ Ἰουλιανοῦ ἡ στρατιὰ εἰς Ταρσὸν τῆς Κιλικίας κομίσασα ἔθαψεν ἐν προαστείῳ τῆς πόλεως οὗ τῷ τάφῳ καὶ τόδε τὸ ἐπίγραμμα ἐπεγράφη:

Κύδνῳ ἐπ' ἀργυρόεντι ἀπ' Εὐφράτεο ῥοάων
Περσίδος ἐκ γαίης ἀτελευτήτῳ ἐπὶ ἔργῳ
Κινήσας στρατιὴν τόδε Ἰουλιανὸς λάχε σῆμα
Ἀμφότερον βασιλεὺς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

Ὕστερον δὲ ἐκομίσθη εἰς τὴν βασιλίδα τῶν πόλεων· οὐ μακρὰν δὲ τῆς Ταρσοῦ ἐν Μόψου κρήνῃ ἐτελεύτησε καὶ ἐτάφη καὶ ὁ Κωνστάντιος.

§. Δ'. **Βιβλιοθήκη περιώνυμος ἐν Καισαρείᾳ** (α).

«Ἐν ἑνὶ δὲ ἀντιγράφῳ λίαν ἠκριβωμένῳ, κατά τε στιγμὴν καὶ πρωσῳδίαν, ἐκ τῆς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἐλθόντι εἰς ἐμὲ βιβλιοθήκης, ἐν ᾧ καὶ ἐπεγέγραπτο ὡς ὁ μέγας καὶ θεῖος Βασίλειος τὰ ἐξ ὧν ἐκείνῳ ἀπεγράφη, ἀντιβαλὼν διορθώσατο βιβλία·» (Συγκέλλου χρονογραφ. σελ. 203 ἐκδ. Παρισίων 1652.)

§. Ε'. **Ἡ ἐν Τυάνοις Σύνοδος** (β).

«Κατὰ τὸν αὐτὸν χρόνον ἐγένετο ἡ ἐν Τυάνοις σύνοδος παρόν-

(α) ἡ προσθήκη αὕτη ἀναφέρεται εἰς τὴν 14. §. τῆς ἐκκλησ. ἱστορίας·
(β) ἀναφέρεται εἰς τὴν 36. §.

των Εὐσεβίου Καισαρείας Καππαδοκίας, Ἀθανασίου Ἀγκύρας, Πελαγίου Λαοδικείας, Ζήνωνος Ταρσοῦ, Παύλου Ἐμέσης, Ὀτρηΐου Μελιτηνῆς, Γρηγορίου Ναζιανζοῦ καὶ ἄλλων πολλῶν ἐπισκόπων» (Νικηφ. Κάλλ. ἐκκλ. ἱστορ.)

§. στ'. **Ναζιανζοῦ Ἐκκλησία** (α)

«... Νέαν Ἱερουσαλὴμ καὶ Κιβωτὸν ἄλλην ὑπὲρ ὑδάτων φερομένην ὥσπερ ὁ μέγας ἐκεῖνος Νῶε, καὶ τοῦ δευτέρου τούτου κόσμου Πατήρ, τὴν δὲ τὴν ἐκκλησίαν καλεῖσθαι πεποίηκε· τοῦτό τε κατακλυσμοῦ τῶν ψυχῶν καὶ τῆς τῶν αἱρετικῶν σαφῶς ὑπεραίρουσαν· καὶ ὅσῳ πλήθει τῶν ἄλλων ἐλείπετο τοσοῦτον εὐδοξίᾳ κρατοῦσαν...» (Γρηγ. Ναζ λόγ. ΙΘ, σελ. **297**. πρβλ. καὶ λόγ. γ'. σελ. **48**. καὶ ἐν τοῖς εἰς ἑαυτὸν ποιήμασι λέγει.

35 «ἐπεὶ γὰρ ἠκόμην ξένης Κιβωτὸς, ἡ μόνη
Λιπὼν ἕδος χθονὸς, Κόσμου φυγοῦσ' ἐπίκλυσιν
Καὶ γῆν πατρῴαν ἀσμένως Καλῶς ὀλωλότος.
Λαόν τε τὸν γλυκὺν (ὁ αὐτὸς Τόμ. Β. σελ. **244**
ὡς εἶδον, ὤχ, ὑπέδραμε εἰς ἑαυτὸν ΚΓ, 35.)

§. Ζ'. **Οἱ ἐκ τῆς Μικρᾶς Ἀσίας ἐν τῇ Α'. Οἰκουμενικῇ Συνόδῳ Ἐπίσκοποι** (β).

Ἐκ μὲν τῆς Κιλικίας· Λοῦπος ὁ Ταρσοῦ ἢ ὁ διάδοχος αὐτοῦ Θεόδωρος, Μακεδόνιος ὁ Μοψουεστίας, Ἡσύχιος ὁ τῆς μικρᾶς Ἀλεξανδρείας, Μωῦσῆς ὁ Κασταβάλων, Νικήτας ὁ Φλαβιουπόλεως, Ἅγιος Ἀμφίων ὁ Ἐπιφανείας. — ἐκ δὲ τῆς Καππαδοκίας ὁ Μητροπολίτης Καισαρείας Λεόντιος, ὁ Τυάννων Εὐψύχιος, ὁ Ἀμασείας Εὐτυχιανὸς, ὁ Σεβαστουπόλεως Ἅγιος Μέλησος, ὁ Νεοκαισαρείας Λογγῖνος; ἢ κατὰ τὸν Συναξαριστὴν (Δεκεμβρ. ΚΓ'.) Παῦλος. — Ἐκ δὲ τῆς Ἀρμενίας ὁ Πιοσπόντης Ἀκρίτας,

(α) ἀναφέρεται εἰς τὴν 107. §. τῆς ἐκκλ. ἱστορ.
(β) ἀναφ. εἰς τὴν 29 §. τῆς ἐκκλ. ἱστορ.

ὁ Ζελόνης Ἡρακλῆς, ὁ Νισίβεως Ἰάκωβος. — ἐκ δὲ τῆς Παφλαγονίας καὶ τῆς Γαλατίας ὁ Γαγγρῶν Ἅγιος Ὑπάτιος ὁ Ἀγκύρας Μάρκελλος· ὁ Ἰουλιουπόλεως Φιλάδελφος, ὁ Ταβίας Δίκαιος, ὁ Πλατῶν Ἐρέτιος, ὁ Συννάδων Γοργόνιος· οἱ ἐκ τῆς ἐπαρχίας Ἀσίας ὁ Κυζίκου Θεωνᾶς, ὁ Σμύρνης Εὐτυχὴς, ὁ Τρωάδος Μαεῖνος, ὁ τῆς ἐν Φρυγίᾳ Λαοδικείας Νουνέχιος, ὁ Μύρων τῆς Λυκίας ἅγιος Νικόλαος, ὁ Σελευκείας Ἀγαπητὸς, καὶ ὁ Βασαγάδων Θεόδωρος οὗτοι μὲν οὖν ἦσαν οἱ τῆς εὐσεβείας πρόμαχοι· οἱ δὲ ἐκ τῆς τοῦ Ἀρείου μερίδος ἦταν ὁ Ἐφέσου Μανόφαντος, ὁ τῆς ἐν Κιλικίᾳ Νερωνιάδος Νάρκισσος, ὁ Σκυθοπόλεως Πατρόφιλος, ὁ Νικαίας Θέογνις, ὁ Χαλκηδῶνος Μάρης, ὁ Νικομηδείας Εὐσέβιος· ἦσαν δὲ καὶ ἄλλοι ἐξ ἐπισκοποι Παλαιστίνης καὶ Συρίας. πέντε Αἰγύπτου καὶ Λιβύης εὐνοοῦντες τὴν τοῦ Ἀρείου αἵρεσιν (Τιλλεμ. ἐκκλ. ἱστορ. βιβλ. ς'. **273** — **276**. παρὰ **Lebas**.)

§. Η'. **Περὶ τοῦ χαρακτῆρος τῶν Καππαδοκῶν** (α).

Οἱ Καππαδόκαι παρὰ τῶν ἀρχαίων λίαν κακῶς χαρακτηρίζονται· ἐνομίζοντο ψεῦσται λῃσταὶ, κακοῦργοι καὶ δουλόφρονες ὅθεν καὶ ἡ παροιμία «Τρία Κάππα κάκιστα Καππαδοκία, Κρητη καὶ Κιλικία» (β)· καὶ τῶν ἐπιγραμματοποιῶν τινες κωμῳδοῦντες ἐποίουν.

«Καππαδόκαι φαῦλοι μὲν ἀεὶ ζώνης δὲ τυχόντες.
φαυλότεροι· κέρδους δ' ἕνεκα φαυλότατοι·
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίνονται φαυλεπιφαυλότατοι
Μὴ, λίτομαι βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος» (γ).

(α) ἀναφέρ. εἰς τὴν 15 §. τῆς ἐκκλ. ἱστορ.
(β) Σουίδ. ἐκκλ. Κάππα.—Κωνστ. Πορφ. Θέμ. Α'. καὶ Β.
(γ) Δημόδοκος Ἀνθολ. ἐπιγρ. βιβλ. XI. 238.

«Καππαδόκην πότ' ἔχιδνα κακὴ δάκεν ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου» (δ).

«Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας
εὑρεῖν, ἢ δόκιμον ῥήτορα Καππαδόκην» (ε).

Καὶ ὁ ἱερὸς Ἰσίδωρος ὁ Πηλουσιώτης φαίνεται ἄσπονδος ἔχθρὸς τῶν Καππαδοκῶν, καίτοι ἡ τοσαύτη ἀπέχθεια οὐδόλως πρέπει τῷ ἱερῷ αὐτοῦ χαρακτῆρι καὶ ὡς χριστιανοῦ, καὶ ὡς λογίου καὶ μάλιστα λειτουργοῦ ὄντος τοῦ Ὑψίστου· ἰδίᾳ δὲ ψέγει Καππαδόκην τινὰ Γιγάντιον, φαῦλον ἄνδρα ἔπαρχον τῆς Αἰγύπτου γενόμενον· παραθῶμεν ἐνταῦθα τὰ παρ' αὐτῷ χωρία, ἐν οἷς μνείαν ποιεῖται τῆς κατ' αὐτὸν ἀνυπερβλήτου πονηρίας τῶν Καππαδοκῶν.

Συνεσίῳ ἐπιστ. **485.**

«Ἥλιν ὁ Καπποδόκης ἐπὶ στρατοπέδου, ὡς ἔγνωμεν, τὴν ἀρχὴν ἑαυτῷ τὴν ἀθλίαν μνηστεύεται, ἵνα δίδυμος ἡμῖν ἐπιστῇ Καππαδόκης, πρὸς τῇ ἐνοίκῳ μισανθρωπίᾳ καὶ τὴν κακὴν προσλαβὼν δυναστείαν· εἰσὶ δὲ μᾶλλον οἱ τὰ χρηστὰ ἐπαγγέλλοντες, ὅτι δὴ τῶν οἰκείων συμφυλετῶν ἄρξαι ἱμείρεται· ᾧ καὶ ὁ θεὸς ἐπινεύσειεν, ὡς ἂν πρέποντα τροφεῖα τῇ τιτθῇ ἀποδώῃ, ἀνθ' οὗ ἔσπασε γάλακτος, ἰὸν αὐτὴν ἀντιποτίζων, ὃν ἴσως σὺν τῷ γάλακτι ἔσπασε.»

Σελεύκῳ ἐπιστ. **486.**

«Ὁ φθορεὺς πῶν πολιτῶν ἡμῶν Καππαδόκης, νῦν ἐπὶ στρατοπέδου πάλιν ἑαυτῷ τὴν ἀρχὴν ἐκδικεῖ.σὸν τοίνυν ἐστὶ τοῦ ἔχοντος παρὰ θεοῦ τὴν ἰσχὺν τοῦτο κωλύσαι, καὶ τῆς προτέρας αὐτὸν εὐθὺνας εἰσπράξασθαι κακίας· εἰς ἐκείνην δὲ λικμῆσαι τὴν ἐνεγ

(α) αὐτόθ. 237.

(β) αὐτόθ. 436.

κοῦσαν αὐτὸν ἐσχατιάν, ὡς ἂν μάθοιεν οἱ τοῦ ἀνδραπόδου ὁμόφυλοι ἐν αὐτοῖς τὴν πονηρίαν ἐντίκειν καὶ μὴ πέραν τῆς ἑαυτῶν ἐξεμοῦντες, τὰς ὑγιαινούσας αἰσθήσεις καὶ χώρας τοῖς λοιμικοῖς τρόποις αὐτῶν διαφθείρειν.»

Ἰσιδώρῳ ἐπιστ. **485.**

«Καρχηδονίους νόμος κωλύει διέπειν ἀρχὴν ἥττονας κακοὺς Καππαδόκας δὲ τοὺς μεγάλους πονηροὺς, οὐκ εἴργει νόμος ἀρχῆς· ἐπειδὴ τοίνυν βούλει καὶ πάντας εὐεργετεῖν καὶ σύνδρομον ἔχεις τῇ βουλήσει τὴν δύναμιν, ἢ τὸν νόμον ἀντάλλαξον, μᾶλλον Καππαδόκας Καρχηδονίων κωλύων, ἢ σύναψον καὶ τούτους ἐκείνοις· εἰ δὲ, ὡς εἰκὸς, χρήμασι τὰς ἀρχὰς ἐξωνοῦνται, ἃς καὶ βάρβαρός τις ὠνούμενος, οὐ κωλύεται μόνον, εἰ τὰ χρήματα διδῷ, ἀλλὰ κἂν οὕτως ἀρχέτωσαν μόνων τῶν Καππαδοκῶν, ἀξίων ὄντων ταῖς οἰκείαις δεδέσθαι κατήναις»

Φλωρεντίῳ ἐπιστ. **486.**

«Ἔχεις αὐτόθι Γιγάντιον, δέσποτα, οἰόμενον λελῆθέναι τὰ πρότερα, καὶ αὖθις περιθήσειν ἑαυτῷ τὴν ἀρχὴν βουλευόμενον· ἐπειδὴ τοίνυν πολλῶν τὰ ἐνταῦθα δεινῶν ἐν πείρᾳ κατέστησεν, ἐφ' οἷς τῆς ὑμετέρας δεῖται εἰς διόρθωσιν καθαρότητος, μακρῶν δὲ λόγων εἰς γνῶσιν τῶν κατ' αὐτὸν οὐ χρήζετε, ὡς πολλαὶ φροντίσι κυκλούμενοι· Καππαδόκης ἐστὶν, ἦρξεν ὡς Καππαδόκης· Καππαδόκου παρ' ἡμῖν μηδὲν πλέον ἐχέτω.»

Ἀργυρίῳ ἐπιστ. **187.**

«Ὁ δυσσεβὴς Γιγάντιος ὁ εὐπρόσωπον συκοφαντίαν ἐνθεὶς κατὰ τῶν ἀθλίων γεωργῶν, τελῶν καὶ φόρων τινῶν κλοπὴν καὶ τὴν

Αὐγούστου βαρύνας ἀπογραφήν, καίτοι βαρυτάτην αὐτοῖς ὑπάρχουσαν, πάλαι πείσας προσχεῖν αὐτῷ ὡς ἀληθεύοντι τὸν κρατοῦντα, καὶ συμφορῶν αἴτιος γεγονὼς τοῖς κωμήταις, εἰς Θράκην ἥκει αὖθις τὴν ἀρχὴν περιθέσθαι ζητῶν· οἶσθα δὲ ὅσους εἰς φυγὴν ἐσκέδασεν ἀπογράφων, ὅσοι τῆς πατρῴας ἐλευθερίας, τὸ σκαπάνην κρατεῖν, καὶ σμινώην ἠλλάξαντο· καὶ φρόντισον μὴ λάβηται πάλιν ἡγεμονίας καὶ πάντας ἐργάσηται Καππαδόκας, οἷς ὁ βίος οὐκ ἄλλοθεν ἢ ἐκ δουλείας καὶ γεηπονίας συνίσταται.»

Ρουφίνῳ ἐπάρχῳ Πραιτωρίων ἐπιστ. 489.

«Αἰγυπτίους μὲν δι' ἀπήνειαν νόμος εἴργει ἀρχῆς, Καππαδόκας δὲ τοὺς χείρους ἐκείνων οὐκέτι· ἐπειδὴ τοίνυν ἡμεῖς μὲν ἄρχοντι Καππαδόκῃ χρησάμενοι, πολλὴν πεῖραν τοῦ διαβόλου ἔθνους ἐσχήκαμεν, ὑμεῖς δὲ τὴν βασιλέως γνώμην πρὸς ὃ βούλεσθε ἔχετε, ἑνώσατε Αἰγυπτίοις καὶ τούτους, μήποτε καὶ ἄλλης χώρας ἄρξῃ Καππαδόκης εἰ μὴ μόνης τῆς οἰκείας, ὡς πρέπει ὑπ' ἀλλήλων αὐτοὺς τὴν πάτριον ποτίζεσθαι πικρίαν.»

Κατυλλιαρῷ ἐπιστ. 490.

«Ἐκοινώνησας μὲν καὶ αὐτός, ὦ ἱερὰ κεφαλή, τοῦ Καππαδόκου λοιμοῦ, ἡνίκα ὤκεις τὴν πόλιν, καὶ οὐκ ἔλαθες τοὺς ματαίους καὶ ὁρκιτοὺς τοῦ ἀκαθάρτου στόματος ὅρκους, μετὰ τοῦ μελιχροῦ καὶ συχνοῦ προσκυνῶ σε· τὰς πρὸς ἕκαστον ἰδίᾳ κατὰ πάντων καταλαλιάς, τὰς δυστρόπους καὶ ἱεροσύλους λῃστείας, τὴν νέαν ἀπογραφήν, τὴν κατὰ θεοῦ καὶ πτωχῶν ἐπικερδῆ σπουδήν, τὰς τῶν συνοικεσίων ἐπιβουλάς, τὰς τῶν μνημάτων διορυγάς, τὰ δεσμὰ οἷς καθείρχθη τὰς ἀμοιβαίας εἱρκτὰς ἃς ἐπὶ στρατόπεδον ἑλκόμενος ὤκησε, τὴν ἐκεῖσε βάσανόν τε καὶ γύμνωσιν, ἣν παρὰ θεοῦ ὑπέμεινε πρὸς διόρθωσιν· ἀλλ' ἐπειδὴ πάντων ἐκείνων ἐπιλαθόμενος, πάλιν ἄρξαι ἱμείρεται, ὡς μανθάνομεν, μὴ ἐν δώσεις κωλύων ὅσῃ σοι δύναμίς ἐστι· σεαυτῷ τε γὰρ καὶ πόλει καὶ αὐτῷ ἐκείνῳ χαρῇ· σαυτῷ τὴν δόξαν, τῇ πόλει τὴν ἡσυχίαν, ἐκείνῳ τὸ μὴ πολλὰ ἁμαρτεῖν καὶ πλείονα πάλιν παθεῖν.»

Ἀμμωνι ἐπιστ. 551.

«Τί σοι καὶ τῷ γένει τῷ θηριοτρόπῳ, τί σοι καὶ τῷ ἔθνει τῷ ἀλλοφύλῳ; τί τοῖς δυσμενέσι συμφύρῃ; τί τοῖς Καππαδόκαις συγκόπτῃς; τί τοὺς Γιγαντίους συγγίγαντας καθ' ἑαυτοῦ ἐξοπλίζεις; τί τοὺς οἰνοδυνάστας ἐρεθίζεις; τί τοὺς λελυττηκότας κύνας ἀγραίνεις, ὧν τὰ δήγματα θάνατος; τί τὰς λοιδόρους γλώττας παραθήγεις; τί τὰς σεαυτοῦ χραίνεις ὑπολήψεις ἐκείνοις συγκρινόμενος, οἷς καὶ ἀνδραπόδοις τις χρήσασθαι νουνεχὴς οὐκ ἂν ἔλῃται;»

Τῷ αὐτῷ ἐπιστ. 552.

«Ἀνάξια μὲν, ὡς ἔφης, τῶν πάλαι ἁγίων πατέρων τὰ ἤθη τῶν νῦν ἀδομένων παντάχοῦ Καππαδοκῶν, καὶ οὐκ ἐκ τούτων ἐκείνους γεγενῆσθαι νομίζεις; ἀλλ' ἐγὼ Καππαδόκας τοὺς ἁγίους ἐκείνους σύμφημι γεγενῆσθαι· καὶ τοῦτο μάλιστα γνώρισμα τῆς τούτων τυγχάνει κακοφροσύνης· εἰ γὰρ μὴ ἐκ τούτων ἐκεῖνοι ἐξέλαμψαν, εἶχεν ἀπολογίαν τὸ κακόσχολον ἔθνος τὴν γενικὴν πονηρίαν, ὡς ἔμφυτον, καὶ αἴτιον ἂν τῆς κακίας τὸν δημιουργὸν ἐποιήσατο· ἀλλ' ἐν ἐκείνοις τοῖς θεοφόροις ἀνδράσι λαμψάσης τῆς φύσεως, ἐν τούτοις τρανῶς τὰ τῆς γνώμης γνωρίζεται.»

Διδύμῳ ἐπιστ. 281.

«Εἰ ἀλλόφυλοι ἐκ Καππαδοκῶν ἀνήχθησαν καὶ ἀπόγονοι Καππαδοκῶν ἀλλόφυλοι, ἐξ ἀλλοφύλων δὲ καὶ Γαβαωνῖται τυγχάνουσι, Καππαδόκαι δῆλον ὅτι Γαβαωνῖται· ἔχων οὖν τὴν ἐκείνων πονηρίαν, τί θαυμάζεις Γιγάντιον; ὕπουλον γὰρ καὶ πονηρὸν ὡς ἐπίπαν τὸ γένος, εἰρήνῃ μὲν οὐ τερπόμενον, ἔριδι δὲ τρεφόμενον καὶ μίαν ἔχων πηγὴν τοῦ πικροῦ καὶ γλυκέος· ἐν συντυχίᾳ χρηστολογοῦν, ἐν ἀπουσίᾳ καταλαλοῦν· ἀπατηλόν, ἀναιδές, θρασύ, δειλόν, σκωπτικόν, ἀνελεύθερον, δόλιον, μισάνθρωπον, ὑπεροπτι-

κόν, ἐν ταῖς τῶν φίλων εὐπραγίαις περίλυπον, ἐν δυσπραγίαις ἀκόρεστον· ἐν προσωπείῳ εὐλαβείας αἰχμαλωτίζον τὰ γυναικάρια, ἐν μανίᾳ χρυσοῦ ὑπερβάλλον τὸν Βαβυλώνιον, πρὸς ψεῦδος ἐξύ, πρὸς τὸ παρορκῆσαι ταχύ· καὶ οἷον ἔχεις τὸν πάμφαυλον καὶ παμμισῆ Γιγάντιον, τοιούτους ἅπαντας νόμιζε καὶ γίνωσκε Καππαδόκας.»

Πρίσκῳ Καππαδόκῃ ἐπιστ. 158.

«Σκαιὸν σὲ φασί τινες καὶ ἀλαζόνα καὶ ὑπερβαίνοντα τὴν φύσιν τῶν ἀνθρώπων φαυλότητι· ἐγὼ δὲ πολλῶν περὶ σοῦ ἀπηχῶν ἀδομένων οὐκ ἔχω τὸ πείθεσθαι, ἀγνοῶν σε παντάπασι· μίαν δὲ συγκατάθεσιν πρὸς τὰς τραγῳδίας τεκμαίρομαι, τὸ τῆς πατρίδος ἀλλόκοτον· καὶ δέδοικα μήποτε θατέρου πράγματος ὑπάρχεις Καππαδοκῶν τοῦ πᾶσι κατεστιγμένου τοῖς ἑλλαττώμασιν· ἔστι γὰρ αὖθις ἑτέρα μοῖρα Καππαδοκῶν πανάριστος ἀρ' ἧς ἐκεῖνοι γεγόνασιν, οἱ πανταχοῦ τῷ ῥωτὶ τῆς ἑαυτῶν πολιτείας καὶ νουθεσίας τὰ τῆς γῆς διαδουχήσαντες τέρματα· ἐπειδὴ οὖν καὶ ἱερωσύνην σοι πράσις ἐπέθηκε, ῥοβήθητι τοὺς θεοφόρους ἐκείνους ἀνθρώπους, καὶ ἢ τὴν αὐτῶν προαίρεσιν μίμησαι, ἢ τὴν αὐτῶν λειτουργίαν μὴ ὕβριζε· εἰ γὰρ τὸ ὑπ' αὐτῶν ἐλεγχθῆναι συμβαίη σοι, οὐδὲ τὸ παρὰ Χριστοῦ κατακριθῆναι λελείψεται.»

Ταῦτα μὲν φασὶν οἱ τὰ μὲν ξένα κακὰ πάνυ καλῶς βλέποντες, τὰ δὲ ἑαυτῶν οὐχ ὁρῶντες· τοῖς δὲ παροιμιαζομένοις διὰ τοῦ «τρία κάππα κάκιστα» καὶ τοῖς ἐπιγραμματοποιοῖς ἀποκρίνεται Κωνσταντῖνος ὁ Πορφυρογέννητος λέγων «ἐκ δὲ ταύτης τῆς τὰ τοιαῦτα βλασφημουμένης, ἐβλάστησαν ἄνδρες, μᾶλλον δὲ εἰπεῖν ἐξανέτειλαν ὥσπερ ἀστέρες πολύφωτοι, ἐπὶ σοφίᾳ διαβόητοι, ζηλωταὶ τῆς Χριστιανῶν πίστεως Γρηγόριος ὁ θαυματουργὸς ὁ Νεοκαισαρείας ἐπίσκοπος, Φαίδιμός τε ὁ Ἀμασείας καὶ Βασιλεὺς ὁ ἀοίδιμος ὁ ἐπὶ Λικινίου μαρτυρήσας ὑπὲρ τῆς τῶν χριστιανῶν πίστεως· καὶ ὁ Βασίλειος ὁ Κομάνων ἀρχιεπίσκοπος, ὃς καὶ αὐτὸς μαρτυρίῳ ἐτελειώθη μεθ' οὗ κατετέθη τὸ λείψανον Ἰωάννου τοῦ Χρυσοστόμου· Βασίλειός τε ὁ μέγας ὁ Καισαρείας ἀρχιεπίσκοπος

καὶ ὁ θεολόγος Γρηγόριος ὁ Ναζιανζοῦ τὴν ἐπισκοπὴν κληρωσάμενος, νυνὶ δὲ τῷ τῶν Ἀποστόλων ναῷ κατατεθεὶς μετὰ τῶν Πατριαρχῶν ταύτης τῆς πόλεως ὑπὸ τοῦ εὐσεβοῦς καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου, οἵ τε ἀδελφοὶ τοῦ μεγάλου Βασιλείου Πέτρος τε καὶ Γρηγόριος καὶ Ναυκράτιος, καὶ Καισάριος ὁ ἀδελφὸς Γρηγορίου τοῦ Θεολόγου· καὶ ταῦτα μὲν τὰ τῆς Καππαδοκίας ὡς ἐν ἐπιτομῇ» (α) Σημειοῖ δὲ καὶ ὁ σοφὸς Κ. Οἰκονόμος ἐν τοῖς Γραμματικοῖς αὐτοῦ, σχολιάζων τὰ ἄνωθι ἐπιγράμματα, τὰ ἑξῆς «εἰς τοὺς σημερινοὺς χρηστοὺς καὶ ἀγαθοὺς Καππαδόκας πρέπουν καὶ ἐπαινετικὰ ἐπιγράμματα διότι ἐνθουσιῶντες ἀπὸ τὸν ἔρωτα τῶν Μουσῶν συνιστῶσι σχολεῖα ἑλληνικὰ εἰς τὰς μεγαλητέρας πόλεις τῆς ἐπαρχίας των, στέλλοντες τοὺς νέους των νὰ σπουδάζωσιν εἰς τὰ γυμνάσια τῆς Σμύρνης, τῆς Χίου, τῶν Κυδωνιῶν, καὶ σπουδάζοντες νὰ λαλῶσιν οἱ πλειότεροι Γραικικὰ, κατὰ τῶν σοφωτέρων συμπατριωτῶν των τὴν ὁδηγίαν» (β)· τούτοις καὶ ἡμεῖς προσθείημεν ἄν ταῦτα· οὐδὲν ἀδικώτερον τοῦ κρίνειν ἐκ τοῦ μέρους τὸ ὅλον. Ναὶ μέν τινες τῶν πρώτων κατοίκων τῆς Καππαδοκίας ἔζων ἐν μέρει ἐκ λῃστείας, ὡς πλεῖστοι τῶν ἀλκίμων ἐθνῶν καὶ αὐτοὶ κατὰ Θουκυδίδην οἱ Ἕλληνες, ἀλλ' οἱ πλείονες ἔζων ἐκ τῶν πολλῶν αὐτῶν βοσκημάτων καὶ ἐκ τῶν ἀγρῶν αὐτῶν, ὥστε πλὴν τοῦ ἀργυρικοῦ τέλους ἔπεμπον ἐνιαυσίως εἰς τὸν βασιλέα τῶν Περσῶν ἵππους χιλίους καὶ πεντακοσίους, ἡμιόνους δὲ δισχιλίους, προβάτων δὲ πέντε μυριάδας (γ)· καὶ πρώϊμως ἐπέδοσαν εἰς τὰς τέχνας καὶ ἐπιστήμας ὥστε ἐσθῆτες κατεργασμέναι ἐν τοῖς ἐργοστασίοις Καισαρείας καὶ πολυτελῆ χρυσᾶ καὶ ἀργυρᾶ κοσμήματα ἐπέμποντο εἰς τὴν αὐτοκράτειραν τοῦ Βυζαντίου· διὰ δὲ τῶν διὰ τῶν ἐπισημοτέρων τῆς Καππαδοκίας πόλεων διερχομένων ἐμπορικῶν καὶ στρατιωτικῶν ὁδῶν ἐπέδοσαν καὶ εἰς τὸ ἐμπόριον ἔχοντες ἐμπόριον ἐξαγωγῆς μετὰ τῶν Σινωπέων καὶ Ἐφεσίων καὶ ἄλλων ἐθνῶν· ναὶ μὲν ἕνεκα τοῦ

(α) Κ. Πορφυρογ. Θεμ. βιβλ. Α'. θεμ. Θ'.
(β) Κ. οἰκον. Γραμμ. σελ. 504.
(γ) Στραβ. ΙΑ'. 525.

πολιτεύματος ἐδούλευον τῷ βασιλεῖ καὶ τοῖς ὑποτελέσι τῷ βασιλεῖ δυνάσταις καὶ ταῖς ἱερατικαῖς πολιτείαις, καὶ ὡς λέγει ὁ Στράβων, εἰς Ρώμην πρεσβευσάμενοι τὴν μὲν ἐλευθερίαν παρῃτοῦντο, βασιλέα δ' ἠξίουν αὐτοῖς ἀποδειχθῆναι, ἀλλὰ τοῦτο ἐπσίησαν εἰδότες καλῶς τοὺς σκοποὺς τῆς Ρωμαϊκῆς Συγκλήτου· δείκνυται δὲ ἡ ἀνδρεία αὐτῶν καὶ τὸ φιλελεύθερον καὶ ἐκ πολλῶν μὲν ἄλλων καὶ ἐξ ὅσων λέγει ὁ θεόπτης Μωϋσῆς ὅτι οἱ Καππάδοκες ἐξελθόντες ποτὲ ἐκ τῆς Καππαδοκίας ἐξέτριψαν τοὺς Εὐαίους (ἔθνος μέγα καὶ ἰσχυρὸν τῆς γῆς Χαναὰν,) καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν (α)· ἅπερ ὑπομνηματίζων ὁ Ἀπολινάριος φησὶ «τοὺς Καππαδόκας ᾠκηκέναι ἀπὸ Ἀροὴρ (Ἀροὴρ δὲ ἦν τὰ ὅρια Μωὰβ) ἕως Γάζης ἐκβαλόντας ποτὲ τοὺς Ἐβαίους» (β)· καὶ ἐν τοῖς κάτω χρόνοις παρεῖχον τοῖς Πέρσαις, εἶτα δὲ τοῖς Ρωμαίοις, ὁτὲ μὲν ὡς ὑποτελεῖς, ὁτὲ δὲ ὡς σύμμαχοι, ἱππικὸν κράτιστον καὶ ἀξιολογώτατον ἱππικῇ μάχῃ τὰ μάλιστα εὐδοκιμοῦν, ἐπ' αὐτῷ δὲ τούτῳ σεμνυνόμενοι ἐχρῶντο καὶ ὀνόμασι συνθέτοις ἐκ τοῦ ἵππου οἷον Σπεύσιππος, Ἐλάσιππος, Μέσιππος κτλ. καὶ ἵππους εἶχον ὀνομαστούς, ὥστε καὶ οἱ τοῦ Βυζαντίου Αὐτοκράτορες ἐχρῶντο τοῖς Καππαδοκικοῖς ἵπποις τρεφομένοις ἐν ταῖς ὑπωρείαις τοῦ Ἀργαίου, καὶ ἀγῶνας ἐτέλουν ἱπποδρομίων (γ)· ναὶ μὲν ὑπῆρξαν καὶ κακότροποι πολιτικοί, ὡς ὁ Φωκᾶς, ὁ Γεώργιος καὶ ὁ Γιγάντιος, ἀλλ' ὑπῆρξαν καὶ Καισάριοι, Ἰωάννα καὶ πλεῖστοι ἄλλοι ἐν τῷ πολιτικῷ σταδίῳ διαπρέψαντες· ἐξῆλθον ἴσως ἐκ τῆς Καππαδοκίας καὶ ῥήτορες ἀδόκιμοι, ἀλλὰ (ἐάσωμεν τοὺς θεοκήρυκας φωστῆρας οὐ μόνον τῆς Καππαδοκίας, ἀλλὰ καὶ συμπάσης τῆς οἰκουμένης Βασίλειον, Γρηγορίους, Εὐσέβιον, Λεόντιον, Φίρμον, Ἀρέταν, Ἀρέθαν καὶ πρὸ τούτων τὸν θειότατον Φιρμιλιανὸν, τὸν Ἑρμογένην καὶ ἄλλους) καὶ ὁ σύγχρονος Καλλινίκῳ τῷ σοφιστῇ Ἰουλιανὸς Δόμνου ἦν ἀπὸ Καισαρείας Καππαδοκίας, ὅτε Ἱππόδρομος καὶ οἱ Καππαδόκαι Ἀλέξανδρος καὶ Διόδοτος, καὶ ὁ ἀρχαιο-

(α) Δευτερ. Β'. 93·

(β) Ἀπολιν ἐν τῇ εἰς Ὀκτάβ. Σειρᾷ σελ. 1432.

(γ) μάρτυρες Ἡροδ. Ξενοφ. Πλούταρ. Ἰουστ. Ὀππιαν Κλαυδ. κλπ.

λογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν συγγράψας σοφιστὴς Εὐστόχιος, ὅτε Βήμαρχος καὶ ὁ Αἰδέσιος ὁ τοῦ Ἰουλιανοῦ διδάσκαλος, ὅτε Εὐστάθιος καὶ ὁ Προαιρέσιος οἱ ἐν ταῖς περιφήμοις Σχολαῖς ἐν Περγάμῳ καὶ ἐν αὐταῖς ταῖς Ἀθήναις τῇ μητροπόλει τῶν λόγων τὴν ῥητορικὴν διδάξαντες καὶ παρὰ πάντων ὁμολογούμενοι ὅτι εἰς πεῖραν ἐλθεῖν λόγων ἦσαν δεινότατοι καὶ τὸ ἐπὶ τῇ γλώσσῃ καὶ τοῖς χείλεσιν αἰμύλιον οὐκ ἔξω γοητείας ἐδόκει, τότε μείλιχον αὐτῶν καὶ ἥμερον ἐπὶ τοῖς λεγομένοις ἐπήνθει καὶ συνεξεχεῖτο τοσοῦτον, ὥστε οἱ τῆς φωνῆς αὐτῶν ἀκούσαντες καὶ τῶν λόγων, παραδόντες ἑαυτοὺς, καθάπερ οἱ τοῦ λωτοῦ γευσάμενοι, τῆς φωνῆς αὐτῶν ἐξεκρέμοντο καὶ τῶν λόγων, ὡς περὶ αὐτῶν μαρτυρεῖ Εὐνάπιος ὁ Σαρδιανὸς ἐν βίοις Σοφιστῶν καὶ ὁ Φιλόστρατος· καὶ ὁ Φαβρίκιος ἐν βίῳ Γρηγορίου τοῦ θεολόγου ἀναφέρει ἐπίγραμμα τοῦ Γρηγορίου πρὸς τὸν Προαιρέσιον ἔχον ὡς ἑξῆς (α)

«Μηκέτι Κεκροπὶς μεγάλ' εὔχεο, οὐ θέμις ἐστὶν,
Ἠελίου τυτθὴν ἄντα φέρειν δαΐδα·
οὐδὲ Προαιρεσίου ῥήτρῃ βρότον ἄλλον ἐρίζειν
ὅς ποτε ἀρτιτόκοις κόσμον ἔσεισε λόγοις
βροντὴν Ἀτθὶς ἔνεικε νεόκτυπον· ἀλλὰ Σοφιστῶν
πᾶν γένος ὑψιλόγων εἶκε Προαιρεσίῳ·
εἶξε μὲν ἀλλά μιν ἔσχε μόρῳ φθόνος· οὐκέτ' Ἀθῆναι
κύδιμοι· ὦ νεότης, φεύγετε Κεκροπίην.»

Οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν νεωτέρων Καππαδοκῶν οὐκ ὀλίγοι ἐδίδαξαν καὶ διδάσκουσιν ἔν τε Κωνσταντινουπόλει, Σμύρνῃ καὶ ἄλλαις μεγάλαις πόλεσι καὶ ἐν αὐταῖς ταῖς Ἀθήναις, ἄλλοι δὲ οὐχὶ εὐάριθμοι· τὸ οἶκος φίλος οἶκος ἄριστος ὡς ῥήτραν ἔχοντες, ἢ μᾶλλον εἰπεῖν τὴν πατρίδα ὠφελῆσαι βουλόμενοι διδάσκουσιν ἐν Καππαδοκίᾳ τὴν νεολαίαν, παρ' ἧς ἡ δύστηνος καὶ κεχερσωμένη πατρὶς τῶν φωστήρων τῆς οἰκουμένης προσδοκᾷ τὴν ἀρχαίαν αὐτῆς εὔκλειαν, ὅπως οἱ τοὺς Καππαδόκας ἀδίκως διασύροντες ἰδόντες καὶ τὰ ἀγλαὰ ταῦτα τέκνα τῆς Καππαδοκίας φιμωθῶσι.

(α) ἡ προσθήκη αὕτη ἀναφέρεται εἰς τὴν 69. §. τῆς ἐκκλησ. ἱστορ.

§. Θ'. Περὶ τῆς αἱρέσεως τῶν τέκνων τοῦ Ἡλίου.(α)

Ἄλλη αἵρεσις ὑπῆρξεν ἡ τῶν λεγομένων Τέκνων τοῦ Ἡλίου ἢ Ἀρεβούρδων, οὕτως ὀνομασθέντων, διότι μετὰ τοῦ χριστιανισμοῦ ζωροαστρικὰς ἰδέας ἀναμιγνύοντες ἀπέδιδον τιμὰς τῷ Ἡλίῳ· ἐπίσημοι ἀρχηγοὶ αὐτῶν ἀνεδείχθησαν ὁ Παυλικιανὸς Σεμβὰτ καὶ ὁ μητροπολίτης τῆς πόλεως Ἄρκης Ἰάκωβος, ὅστις μετερρύθμισε τὴν αἵρεσιν ἐπὶ τὸ χριστιανικώτερον, κηρύττων μετάνοιαν κατακρίνων τὴν ἐξωτερίκευσιν τῆς θρησκείας παρὰ τοῖς πολλοῖς καὶ συνιστῶν τὴν ἐσωτερικὴν εὐσέβειαν. Ἀρεβοῦρδοι ἐσώζοντο μέχρι τῶν νεωτέρων χρόνων ἐν Μεσοποταμίᾳ· ὅρ. ἐκκλ. ἱστορ. Α. Διομήδους Κυριακοῦ σελ. 203.

§. Ι'. Οἱ ἐκ τῆς σειρᾶς ἀπολειφθέντες μάρτυρες. Ὅσιοι ἐπίσκοποι (α).

— Ἰουλιανὴ ἡ παρθένος ἐκ Καισαρείας, λογιωτάτη καὶ σοφωτάτη εἰς ἐπιστήμας· αὕτη τὸν Ὠριγένην διωκόμενον δεξαμένη παρ' ἑαυτῇ ἐτήρησεν ἰδίᾳ δαπάνῃ ὑπηρετοῦσα ἰδίαις χερσί· τούτου καὶ βιβλίον αὐτόγραφον ἐδείκνυεν ἡ παρθένος τῷ Παλλαδίῳ καὶ ἀνεγίνωσκεν (Λαυσαϊκὸν σελ. 193.)

— Ὁ Ἀββᾶς Ἐλπίδιος ἐκ Καππαδοκίας, ἐχειροτονήθη πρεσβύτερος παρὰ Τιμοθέου χωρεπισκόπου ἐν Καππαδοκίᾳ καὶ προέστη μοναστηρίου· εἶτα ἀπελθὼν εἰς Παλαιστίνην ἔζησεν ἐν σπηλαίῳ κατὰ τὴν Ἱεριχὼ· εἴκοσι πέντε ἔτη μόνον Σάββατον καὶ Κυριακὴν μεταλάμβανε τροφῆς, τὰς νύκτας προσευχόμενος διήρχετο καὶ στεκόμενος ὄρθιος· ἦν δὲ σύγχρονος τῷ Παλλαδίῳ· διότι συμπροσηύξατο αὐτῷ· (αὐτ. σελ. 164.)

— Ὁ Ἀββᾶς Σισίνιος δοῦλος τὸ πρῶτον, ἅμα τῆς ἐλευθερίας τυχὼν θείῳ ἔρωτι δουλωθεὶς παρέδωκεν ἑαυτὸν τῷ ἁγίῳ Ἐλπιδίῳ, παρ' ᾧ ἔμεινεν ἑπτὰ ἔτη· ὕστερον ἐκλείσθη ἐν τάφῳ, ἐν ᾧ ἐκαρτέρησεν ἔτη τρία νυχθήμερον προσευχόμενος· ἐπειδὴ δὲ ἡ φήμη αὐτοῦ ἐξῆλθεν εἰς πᾶσαν τὴν χώραν, βίᾳ πρεσβύτερος χειροτονηθείς, προέστη μοναστηρίων ἀνδρῶν καὶ γυναικῶν ἐν Καππαδοκίᾳ (αὐτόθ. σελ. 164.)

— Ὁ Ἀκάκιος, ὅστις ὑπῆρξεν ἐπίσκοπος Ἀριαραθείας· (ἴδ. Εὐαγρ. ἐκκλ. ἱστορ. βιβλ. 17) (α).

— Ὁ Δομετιανὸς ἐπίσκοπος Μελιτινῆς, ἀκμάσας ἐπὶ Τιβερίου αὐτοκρ. Κωνσταντινουπόλεως ἀνὴρ παιδείας εὖ ἔχων καὶ ζηλωτὴς τῆς πίστεως· (Θεοφυλάκτου Σιμοκάττα ἱστορ. βιβλ. Δ'. 15—17 καὶ Φωτ. βιβλιοθ. κωδ. 65.)

— Ἐπὶ Ἰωβιανοῦ ταῖς ἐκκλησίαις Καππαδοκίας, Πόντου καὶ Γαλατίας παρὰ Ἀετίου καὶ Εὐνομίου προχειρίζεται ἐπίσκοπος Εὐφράνιος. (Φιλοστρογ. βιβλ. Η'. 2).

— Ἐπὶ Κωνσταντίνου ἐπίσκοπος Ἀλεξανδρείας προχειρίζεται ἀντὶ τοῦ Ἀθανασίου ὁ ἐκ Καππαδοκίας Γρηγόριος (αὐτόθ. βιβλ. Β'. 12.)

— Ἐπὶ Κωνσταντίνου ἕτερος Καππαδόκης Γρηγόριος, κατὰ δὲ τὸν Φιλοστόργιον Γεώργιος χειροτονεῖται Ἀλεξανδρείας ἐξελαθέντος τοῦ Ἀθανασίου· εἶτα ὁ μὲν Ἀθανάσιος ἀναλαμβάνει τὴν ἐπισκοπὴν, ὁ δὲ Γεώργιος μετάπεμπτος γενόμενος ὑπὸ τοῦ βασιλέως εἰς Κωνσταντινούπολιν εἰς τὴν ἑαυτοῦ πατρίδα τὴν Καππαδοκίαν ἀφίκετο· κἀκεῖ διῆγε τὰ καθ' ἑαυτὸν ἐπισκοπούμενος· (αὐτόθ. βιβλ. Γ'. 12. καὶ Σωκρ. ἐκκλ. ἱστορ. βιβλ. Β'. 10—11.)

— Θεόδωρος ὁ Τυάνων καὶ Βοσπόριος ὁ Κολωνίας· περὶ τούτων βλέπομεν ἐν τῷ χρονικῷ Πασχαλινῷ τάδε «Γρηγόριος ὁ θεολόγος τὰς παρὰ τῶν ἀρετικῶν κακούργως προφερομένας ἐπιστολὰς, οὐ πρὸς Θεόδωρον τὸν Μοψουεστίας ἔγραψεν, ἀλλὰ πρὸς Θεόδωρον ἐπίσκοπον Τυάνων, ἥτις ἐστὶ τῆς δευτέρας τῶν Καππαδοκῶν μητροπόλεως· τῆς δὲ αὐτῆς χώρας ἐστὶν ἡ Ναζιανζὸς, ἧς Γρηγόριος ὁ αὐτὸς ἐν ἁγίοις γέγονεν ἐπίσκοπος καὶ Ἀριανζὸς

(α) ἡ προσθήκη αὕτη ἀναφέρεται εἰς τὴν 28 §. τῆς ἐκκλ. ἱστορ. ἐπίσης καὶ εἰς τὴν 105 §.

(α) Ἴσως ὁ αὐτὸς τῷ ἐν τῇ 56. §. τοῦ παρόντος πονήματος θαλησθέντι Ἀκακίῳ.

τὸ χωρίον, ὅθεν ὥρμητο· τοῦτο γὰρ καὶ αὐταὶ σαφῶς δηλοῦσιν αἱ ἐπιστολαί, μεμνημέναι ἐθῶν καὶ συνόδων καὶ τοῦ αὐτοῦ χωρίου Ἀριανζοῦ καὶ ἑτέρων χωρίων τῆς αὐτῆς ἐπαρχίας καὶ μηνῶν ὡς τῇ ἐπιχωρίῳ διαλέκτῳ Καππαδοκῶν ὠνομασμένων καὶ Βοσπορίου ἐπισκόπου ὑπ' αὐτὸν τελοῦντος Κολωνίας τῆς πόλεως καὶ ἑτέρων ἐπισκόπων καὶ χωρεπισκόπων καὶ μοναστηρίων ὑπὸ τὸν αὐτὸν τελούντων **Θεόδωρον** μνημονεῦσαι, ὧν καὶ μέχρι νῦν σώζεται τὰ αὐτὰ ὀνόματα» (χρονικ. Πασχαλ. σελ. **371** ἔκδ. Παρισ.) ἡ δὲ Κολώνεια ἴδομεν ὅτι ἐστιν ἡ νῦν Ἀκσαραῒ καλουμένη πολίχνη, ἥτις πρότερον Ἀρχελαΐς ἐκαλεῖτο ὡς ὑπὸ τοῦ κτίστου αὐτῆς Ἀρχελάου, ὕστερον δ' αὐξηθεῖσα διὰ ῥωμαϊκῆς ἀποικίας ἐκλήθη Κολώνεια· πλεῖστοι δὲ ὅσοι χωρεπίσκοποι ἀναφέρονται ἐν ταῖς ἐπιστολαῖς τοῦ τε Βασιλείου καὶ τοῦ Γρηγορίου οὓς συντομίας χάριν δὲν ἀναφέρομεν, ὡς εὐχερὲς ὂν ἰδεῖν τὰ ὀνόματα αὐτῶν ἐν τοῖς συγγράμμασι τῶν ἐν λόγῳ ἁγίων Πατέρων. (Γρηγορ. Ναζ. ἐπιστ. **14** κτλ.)

— Εὐφρόνιος πρεσβύτερος ἐκ Καισαρείας Καππαδοκίας προειρίζεται Ἀντιοχείας ἐπίσκοπος τῷ **333** καὶ ἀποθνήσκει τὸ ἐπιὸν ἔτος. (Σωζόμ. βιβλ. Γ'. σ. **470**.)

— Ἀκάκιος μάρτυς ἀθλήσας ἐπὶ Μαξιμιανοῦ καὶ Φίρμου ἡγεμόνος Καππαδοκίας, Καππαδόκης τὸ γένος, ἐκ τοῦ τάγματος τῶν Μαρτισίων· μετὰ πολλὰς βασάνους, ἐνταῦθά τε καὶ ἀλλαχοῦ ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. ὑπῆρχε δὲ αὐτοῦ καὶ μαρτύριον ἐν Βυζαντίῳ, ὅπου ἐτελεῖτο σύναξις κατ' ἔτος· φέρονται δὲ εἰς αὐτὸν οἱ στίχοι.

εἴπέρ τις ἄλλος ἐν χορῷ τῶν μαρτύρων
κάλλιστος Ἀκάκιος ἑκτηθεὶς κάραν. (Συναξ. Ματου Ζ'.)

— Ἐπὶ Γαλερίου ἐν μόνῃ Κιλικίᾳ **404** μάρτυρες ἀναφέρονται ἐν δὲ Ἀμασείᾳ τοῖς Ποντικοῖς Κομάνοις καὶ Χαλκηδόνι πλεῖστοι ὅσοι, ἄλλοι δὲ πεπηρωμένοι τὰ μέλη ἐπέμποντο εἰς μεταλλουργεῖα (Τιλλ. παρὰ **Lebas**.)

— Εἴδομεν ἀνωτέρω ἐν § . **105** ὅτι οἱ ἀναχωρηταὶ ἀφ' ἑνὸς ἀποφεύγοντες τὴν τύρβην καὶ τὰς μερίμνας τοῦ κόσμου, ἀφ' ἑτέρου τοὺς σκληροὺς διωγμοὺς τῶν χριστιανομάχων τυράννων κατέ-

